BYZANTINE GREEK SERIES · VOLUME 90

The Letters and Homilies of Photius

Photius

ΦΩΤΙΟΣ

The Letters and Homilies of Photius

Two Letters and Four Homilies,
with the Mystagogy of the Holy Spirit

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 90 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows the homilies on the Rus in C. Müller,
Fragmenta Historicorum Graecorum V (Paris, 1870), pp. 162–173;
the other works as J.-P. Migne reprints them in Patrologia Graeca 102
(Paris, 1860): Combefis' text of the homilies on the Nativity
and the New Church, Montagu's of the letters, Hergenröther's of the Mystagogy

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the editors' paragraph numbers.
A passage of the Encyclical (Patrologia Graeca 102, cols. 725–726)
is set from Montagu's edition (London, 1651).

CONTENTS

THE FIRST HOMILY ON THE ATTACK OF THE RUS

The First Homily on the Attack of the Rus 9

THE SECOND HOMILY ON THE ATTACK OF THE RUS

The Second Homily on the Attack of the Rus 37

ON THE NATIVITY OF THE VIRGIN

On the Nativity of the Virgin 73

ON THE NEW CHURCH

The New Church 101

TO MICHAEL, RULER OF BULGARIA

To Michael of Bulgaria · I · The Creed and Four Councils 117
To Michael of Bulgaria · II · Three Councils and the Faith 137
To Michael of Bulgaria · III · Faith and Conduct 158
To Michael of Bulgaria · IV · Counsels for a Ruler 178
To Michael of Bulgaria · V · Counsels and a Blessing 199

THE ENCYCLICAL TO THE EASTERN PATRIARCHS

The Encyclical Letter 219

ON THE MYSTAGOGY OF THE HOLY SPIRIT

On the Mystagogy of the Holy Spirit · I 255
On the Mystagogy of the Holy Spirit · II 275
On the Mystagogy of the Holy Spirit · III 294
On the Mystagogy of the Holy Spirit · IV 313
On the Mystagogy of the Holy Spirit · V 333
On the Mystagogy of the Holy Spirit · VI 353

ΟΜΙΛΙΑ Α΄ ΕΙΣ ΤΗΝ ΕΦΟΔΟΝ ΤΩΝ ΡΩΣ

The First Homily on the Attack of the Rus

Ὁμιλία α΄ εἰς τὴν ἔφοδον τῶν Ῥώς

THE FIRST HOMILY ON THE ATTACK OF THE RUS

Photius asks whence this northern thunderbolt has fallen: a barbarian sea that does not cut grain or vines but grinds men's bodies and destroys the whole race. It came for our sins. We were saved and were ungrateful, forgiven great debts and harsh over small ones, and like the beloved we were filled and kicked. So a people has come from the north as against another Jerusalem. He weeps with his hearers, but tears come too late: they should have fled pleasure, kept from others' goods, and repented before the evils came, as he often warned them with Sodom, the Flood, and Israel. The enemy came faster than the news; it ravages the land around the city, sparing no one, while the emperor and the army are far beyond the borders. He laments the queen of cities, her churches, and her altar. There is no Moses or Abraham to intercede, but they can make themselves such if their repentance outlasts the danger. He offers himself as surety for their safety if they keep their promises, and calls them to the Mother of the Word: save your city, Lady, as you know how.

Τί τοῦτο; τίς ἡ χαλεπὴ αὕτη καὶ βαρεῖα πληγὴ καὶ ὀργή;
what (is)-this what the grievous this and heavy blow and wrath
πόθεν ἡμῖν ὁ ὑπερβόρειος οὗτος καὶ φοβερὸς ἐπέσκηψε
whence to-us the hyperborean this and fearful fell
κεραυνός; ποῖα νέφη παθῶν πυκνωθέντα; τινῶν δὲ
thunderbolt what-kind-of clouds of-sufferings condensed of-what and
κριμάτων σφοδραὶ παρατρίψεις τὴν ἀνυπόστατον ταύτην
judgments violent collisions the irresistible this
καθ' ἡμῶν ἐξεπυρήνισαν ἀστραπήν; πόθεν ἡ βαρβαρικὴ
against us struck-out lightning whence the barbarian
αὕτη καὶ πυκνὴ καὶ ἀθρόα κατερράγη θάλασσα; οὐ
this and dense and massed burst-down sea not
καλάμην σίτου κείρουσα καὶ τὸν στάχυν συμπατάσσουσα,
stubble of-grain shearing and the ear trampling
οὐδὲ κληματίδας ἀμπέλου μαστίζουσα καὶ τὸν καρπὸν
nor shoots of-vine scourging and the fruit

ἄωρον τεμαχίζουσα, οὐδὲ φυτῶν τὰ στελέχη τύπτουσα καὶ
unripe cutting-to-pieces nor of-plants the stems striking and
τοὺς κλάδους διασχίζουσα (ὃ πολλοῖς πολλάκις μέτρον
the branches splitting which for-many often (the)-measure
ἐπλήρωσεν ἐσχάτης κακώσεως), ἀλλ' ἀνθρώπων αὐτῶν
filled of-utmost affliction but of-men themselves
οἰκτρῶς τὰ σώματα συναλήθουσα καὶ τὸ γένος ἅπαν πικρῶς
pitiably the bodies grinding-together and the race whole bitterly
ὀλοθρεύουσα. Πόθεν ἢ πῶς τῶν τηλικούτων καὶ τοσούτων
destroying whence or how of-the so-great and so-many
κακῶν ὁ τρυγίας, ὅ τι μὴ μεῖζον εἰπεῖν, ἐξεχύθη ἐφ'
evils the dregs what thing not greater to-say was-poured-out upon
ἡμᾶς; ἆρ' οὐ διὰ τὰς ἁμαρτίας ἡμῶν ταῦτα πάντα
us (is-it)-then not because-of the sins our these(-things) all
ἦλθεν ἐφ' ἡμᾶς; οὐκ ἔλεγχος ταῦτα καὶ ἀνάγραπτος
came upon us not (a)-reproof these(-things) and (a)-recorded
θρίαμβος τῶν ἡμετέρων παραπτωμάτων; οὐχὶ δὲ καὶ
triumph of-the our transgressions not and also
τεκμηριοῖ τὸ τῶν παρόντων φοβερὸν τὰ τῶν μελλόντων
proves the of-the present(-things) fearful the of-the(-things) to-come
φρικτὰ καὶ ἀδέκαστα δικαιωτήρια; Οὐχ ἑλπὶς ἁπάντων
dread and incorruptible judgment-seats not (the)-expectation of-all
ἡμῶν, μᾶλλον δὲ κοινὴ προκειμένη ὄψις, ἵνα μηδὲ τῆς
of-us rather and common lying-before sight that not-even of-the
συμφορᾶς τοῖς ἔπειτα πυρφόρος ἐκφύγῃ, μηκέτι μηδένα
calamity to-those after(-us) (a)-fire-bearer escape no-longer anyone
εἰς τὸ περιεῖναι ἐγκαταλειφθῆναι· ὄντως «ἐλασσονοῦσι
in the to-survive be-left truly diminish
φυλὰς ἁμαρτίαι» καὶ* ὡς ῥομφαία δίστομος πᾶσι τοῖς
tribes sins and as (a)-sword two-edged to-all the(-ones)
χρωμένοις αὐτῇ. Ἐρρύσθημεν κακῶν οἷς πολλάκις
using it we-were-delivered from-evils by-which often

συνεσχέθημεν· δέον εὐχαριστεῖν, οὐκ εὐγνωμονήσαμεν·
we-were-held being-needful to-give-thanks not we-were-grateful
ἐσώθημεν, ἠμελήσαμεν· ἐφρουρήθημεν, κατεφρονήσαμεν· ἐφ᾽
we-were-saved we-neglected we-were-guarded we-despised for
οἷς δέος ἦν τιμωρίαν ὑποσχεῖν. Ὦ γνώμης ὠμῆς καὶ
which fear was punishment to-undergo O of-mind cruel and
ἀδιακρίτου καὶ τί γὰρ οὐχὶ τῶν δυσχερῶν καὶ δεινῶν
undiscerning and what for not of-the hard(-things) and terrible
πάσχειν ἀξίας. Τοὺς μικρά τινα καὶ τῶν εὐτελεστάτων
to-suffer deserving the(-ones) small some and of-the most-trifling
ὀφείλοντας ἀποτόμως εἰσεπραξάμεθα, ἐτιμωρησάμεθα· οὐκ
owing severely we-exacted we-punished not
ἐμνήσθημεν τῆς εὐχαριστίας, παρελθούσης τῆς εὐεργεσίας,
we-remembered the thanksgiving having-passed the benefit
οὐδ᾽, ὅτι συγγνώμης ἐτύχομεν, τοὺς πλησίον ᾠκτειρήσαμεν·
nor that pardon we-obtained the neighbors did-we-pity
ἀλλ᾽ ἐν ᾧ τῶν ἐπικρεμασθέντων φόβων καὶ κινδύνων
but in which from-the hanging-over fears and dangers
ἀπηλλάγημεν, ἀγριώτεροι τούτοις κατέστημεν, μήτε τὸ
we-were-freed fiercer in-these we-became neither the
πλῆθος καὶ μέγεθος τῶν οἰκείων ὀφλημάτων καὶ τὴν ἐπὶ
multitude and greatness of-the own debts and the for
τούτοις τοῦ σωτῆρος συγχώρησιν λογισάμενοι, μήτε τὴν τῶν
these of-the savior forgiveness having-reckoned nor the of-the
ὁμοδούλων ὀφειλὴν βραχυτάτην οὖσαν καὶ μηδὲ ἐν στάθμῃ
fellow-servants debt very-small being and not-even in (the)-balance
λόγου ζυγοστατουμένην πρὸς τὰς ἡμετέρας αἰδεσάμενοι.
of-reason weighed against the ours having-respected
Πολλῶν δὲ καὶ μεγάλων φιλανθρώπως ἐλευθερωθέντες,
many and also great humanely having-been-freed
ὀλίγων ἄλλους καὶ ἀφιλανθρώπως ἐδουλώσαμεν·
of-few others also inhumanely we-enslaved

εὐφράνθημεν, ἐλυπήσαμεν· ἐδοξάσθημεν, ἠτιμώσαμεν·
we-were-gladdened we-grieved(-others) we-were-glorified we-dishonored
ἰσχύσαμεν, εὐθηνήσαμεν, ἐξυβρίσαμεν, ἀφρονησάμεθα·
we-were-strong we-prospered we-were-insolent we-acted-foolishly
ἐλιπάνθημεν, ἐπαχύνθημεν, ἐπλατύνθημεν καὶ εἰ μὴ τὸν θεὸν
we-grew-fat we-grew-thick we-grew-broad and if not — god
ὡς ὁ πάλαι Ἰακὼβ ἐγκατελίπομεν, ἀλλ' ὡς ὁ ἠγαπημένος
as the of-old Jacob we-forsook but as the beloved
πλησθέντες ἀπελακτίσαμεν καὶ «ὡς δάμαλις παροιστρῶσα»
having-been-filled we-kicked and as (a)-heifer goaded
τῶν τοῦ κυρίου προσταγμάτων παροιστρήσαμεν καὶ τῶν
from-the of-the lord commands we-were-goaded-away and the
δικαιωμάτων αὐτοῦ κατολιγωρήσαμεν.
ordinances his we-slighted
Διὰ τοῦτο «φωνὴ πολέμου καὶ συντριβὴ πολέμου ἐν τῇ
because-of this (a)-sound of-war and destruction of-war in the
γῇ» ἡμῶν. Διὰ τοῦτο «ἤνοιξε κύριος τὸν θησαυρὸν αὐτοῦ
land our because-of this opened (the)-lord the treasury his
καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ». Διὰ τοῦτο
and brought-out the vessels of-the wrath his because-of this
«λαὸς ἐξεῖρψεν ἀπὸ βορρᾶ», ὡς εἰς ἄλλην ἐπελαύνων
(a)-people crept-out from (the)-north as against another marching
Ἱερουσαλὴμ, καὶ «ἔθνη ἐξηγέρθη ἀπ' ἐσχάτου τῆς γῆς,
Jerusalem and nations were-roused from (the)-end of-the earth
τόξον καὶ ζιβύνην κρατοῦντες. Ἰταμός ἐστι καὶ οὐκ ἐλεεῖ·
bow and spear holding reckless it-is and not it-has-pity
φωνὴ αὐτοῦ ὡς θάλασσα κυμαίνουσα· ἠκούσαμεν τὴν
(the)-voice its as (the)-sea surging we-heard the
ἀκοὴν αὐτῶν», μᾶλλον δὲ ἀθρόαν εἴδομεν τὴν ὄψιν αὐτῶν,
report of-them rather and all-at-once we-saw the sight of-them
καὶ «παρελύθησαν αἱ χεῖρες ἡμῶν· θλῖψις κατέσχεν ἡμᾶς
and were-loosened the hands our affliction seized us

καὶ ὠδῖνες ὡς τικτούσας· μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν καὶ ἐν
and pangs as women-giving-birth not go-out into (the)-field and in
ταῖς ὁδοῖς μὴ βαδίζετε ὅτι ῥομφαία παροικεῖ κυκλόθεν».
the roads not walk because (a)-sword dwells around
«Τί μαρτυρήσω σοι, ἢ τί ὁμοιώσω σοι,» Ἱερεμίας σὺν
what shall-I-testify to-you or what shall-I-liken to-you Jeremiah with
ἐμοὶ κεκράξεται σήμερον, πόλις βασιλίς; «Τίς σώσει σε καὶ
me will-cry-out today O-city queen who will-save you and
παρακαλέσει σε, ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου;
will-comfort you because was-magnified (the)-cup of-destruction your
Τίς ἰάσεταί σε;» Νῦν κλαίετε· μικροῦ κἀμὲ τὸ πάθος ἐβύθισε
who will-heal you now you-weep nearly me-too the suffering sank
καὶ τοῦ λέγειν ἀνέκοψεν. Ἀλλὰ τί βοᾶτε πρός με; τί
and from-the to-speak cut-off but why cry-you to me why
δὲ ὀδύρεσθε; ἀκούσατέ μου· στήσατε μικρὸν τὸν κλαυθμὸν,
and lament-you hear me check a-little the weeping
καὶ δότε τοῖς λόγοις πάροδον. Δακρύω μὲν γὰρ κἀγὼ
and give to-the words passage I-weep indeed for I-too
σὺν ὑμῖν· ἀλλ᾽ οὔτε τὴν ἐν χρόνῳ ἀναρριπισθεῖσαν φλόγα
with you but neither the in time fanned-up flame
μικραὶ ῥανίδες σβεννύουσι, τί γὰρ δεῖ λέγειν; ὡς
small drops quench what for (is)-needful to-say that
πλέον ἀνάπτουσιν, οὔτε τὸν ἐκκαυθέντα ὑπὸ τῶν ἡμετέρων
more they-kindle nor the kindled by the our
ἁμαρτημάτων θυμὸν τοῦ θεοῦ πρόσκαιρον δάκρυον ἰσχύει
sins anger — of-god (a)-brief tear is-strong
ἐξιλεώσασθαι. Δακρύω κἀγὼ σὺν ὑμῖν, ἀλλὰ πολλῶν
to-propitiate I-weep I-too with you but of-many
ταλαιπωρουμένων παρείδομεν δάκρυα· παρατρέχω γὰρ ὡς
suffering we-overlooked (the)-tears I-pass-over for as
καὶ ἐκινήσαμεν· δακρύω κἀγὼ σὺν ὑμῖν, εἴπερ ἐστὶ δακρύων
also we-moved(-them) I-weep I-too with you if-indeed is of-tears

καιρὸς ὁ παρὼν καιρός, ἀλλὰ μὴ πολλῷ μείζων τῆς
(a)-time the present time but (is-it)-not by-much greater than-the
τῶν δακρύων φορᾶς ἡ καταλαβοῦσα συμφορά· εἰσὶ γὰρ,
of-the tears flow the having-overtaken calamity there-are for
εἰσὶν ὄντως μείζους δακρύων πολλαὶ συμφοραὶ, ἐν αἷς
there-are truly greater than-tears many calamities in which
τῶν ἔνδον ὑπὸ τοῦ στηριχθέντος διαφυλαχθέντων *
of-the(-things) within by the firmly-fixed being-guarded (lacuna)
ἢ καὶ σφόδρα γε συσταλέντων τε καὶ συμμεμυκότων, οὐδὲ
or also exceedingly indeed contracted both and closed-up not-even
ἡ διὰ τῶν ὀμμάτων προχεομένη πολλάκις καταλείπεται
the through the eyes pouring often is-left
νοτίς. Οὐχ ὁρῶ δὲ νῦν οὐδὲ τῶν δακρυόντων τὸ κέρδος·
moisture not I-see but now not-even of-the(-ones) weeping the gain
ὅτε γὰρ πρὸ τῶν ἡμετέρων ὀμμάτων τὰ τῶν ἐχθρῶν ξίφη
when for before the our eyes the of-the enemies swords
τοῖς τῶν ὁμοφύλων βαπτίζεται αἵμασιν, ἡμεῖς δὲ τοῦτο
in-the of-the kinsmen are-dipped bloods we and this
καθορῶντες ἐπικουρεῖν δέον τοῦτο μὲν ἀπορίᾳ τοῦ
seeing to-help being-needful this indeed by-want of-the
πράττειν οὐκ ἀναδεχόμεθα, εἰς δάκρυα δὲ καταφερόμεθα,
to-act not we-undertake into tears and we-are-borne-down
ποταπὴ τοῖς ἀτυχοῦσι παράκλησις ἐπιγίνεται;
what-sort for-the unfortunate consolation comes
μείζους ἂν ποταμοὺς τὰ ἀπὸ τῶν διαιρεθέντων σωμάτων
greater — rivers the from the cut-apart bodies
ἐκίνησεν αἵματα ἢ τὰ ἀπὸ τῶν ἡμετέρων βλεφάρων
would-have-moved bloods than the from the our eyelids
ἀναδιδόμενα δάκρυα. Ἀλλ' ὅτε ταῖς ἐκεῖθεν καταφερομέναις
given-forth tears but when by-the from-there pouring-down
τῶν λύθρων ῥοαῖς ὁ τῶν πλημμεληµάτων οὐκ ἀποσμήχεται
of-the gore streams the of-the offenses not is-wiped-off

μολυσμὸς, ἤπου γε τὰ τῶν ὀμμάτων ῥεῖθρα τοῦτον
stain surely indeed the of-the eyes streams it
ἐκπλῦναι δυνηθήσεται; Οὐ νῦν ἔδει κλαίειν, ἀγαπητοί,
to-wash-out will-be-able not now (it)-was-needful to-weep beloved
ἀλλὰ τὴν ἁμαρτίαν μισεῖν ἀπ᾽ ἀρχῆς· οὐ νῦν πενθεῖν,
but the sin to-hate from (the)-beginning not now to-mourn
ἀλλὰ τὰς δι᾽ ὧν ἡμῖν τὸ πένθος ἐξέφυ πάλαι φεύγειν
but the through which to-us the mourning sprang long-ago to-flee
ἡδονάς. Ἴσον γάρ ἐστι δεσπόταις καταδουλωθέντα πικροῖς
pleasures equal for it-is to-masters enslaved bitter
τὴν ἀπὸ τῶν μαστίγων βάσανον μὴ βούλεσθαι καρτερεῖν
the from the scourges torture not to-wish to-endure
καὶ πράξεσιν ἑαυτοὺς ἐκδεδωκότας πονηραῖς τὰς ἀπὸ
and to-deeds themselves having-given-over wicked the from
τῆς δικαιοκρισίας τοῦ θεοῦ ἐπαφιεμένας ἡμῖν παραιτεῖσθαι
the just-judgment — of-god sent-upon us to-decline
ποινάς. Οὐ νῦν ἐχρῆν ὀλοφύρεσθαι, ἀλλὰ διὰ βίου
penalties not now (it)-was-needful to-lament but through life
σωφρονεῖν· οὐ νῦν τὸν πλοῦτον σκορπίζειν, ὅτε μηδ᾽ αὐτὸς
to-be-temperate not now the wealth to-scatter when not-even yourself
οἶδας εἰ τούτου κύριος ἔτι καταστήσῃ, ἀλλὰ πάλαι
you-know whether of-it master still you-will-become but long-ago
τῶν ἀλλοτρίων ἀπέχεσθαι, ὅτε ἡ παροῦσα θραῦσις οὔπω
from-the others'(-goods) to-abstain when the present ruin not-yet
ἐστήρικτο καθ᾽ ἡμῶν· οὐ τὸν νῦν ἔλεον ἐμπορεύεσθαι, ὅτε ἡ
had-been-fixed against us not the now mercy to-traffic-in when the
τοῦ βίου πανήγυρις ἐν ἐλπίδι κεῖται τοῖς ἐνεστηκόσι λυθῆναι
of-the life festival in hope lies for-the present to-be-loosed
κακοῖς, ἀλλ᾽ ἐν ᾧ τοῦ δύνασθαι ἡ ἐξουσία περιῇν μηδέποτε
evils but in which the to-be-able the authority remained never
ἀδικεῖν· οὐ νῦν παννυχίζειν καὶ λιταῖς προστρέχειν
to-do-wrong not now to-keep-vigil and to-supplications to-run

καὶ στήθη τύπτειν καὶ βαθὺ στενάζειν καὶ χεῖρας ἐπαίρειν
and breasts to-beat and deeply to-groan and hands to-lift
καὶ γόνατα κάμπτειν καὶ γοερὰ δακρύειν καὶ στυγνὸν
and knees to-bend and mournfully to-weep and gloomily
προσβλέπειν, ὅτε τοῦ θανάτου τὰ κέντρα ἠκονημένα ἥκει
to-look when of-the death the stings sharpened come
καθ' ἡμῶν. Πάλαι ταῦτα προσῆκε ποιεῖν, πάλαι σχολάζειν
against us long-ago these(-things) befitted to-do long-ago to-be-at-leisure
τοῖς ἀγαθοῖς ἔργοις, πάλαι μετανοεῖν ἐπὶ τοῖς κακοῖς· ἐν ᾧ
for-the good works long-ago to-repent for the evils in which
γὰρ ταῦτα πράττομεν νυνὶ παρά γε δικαίῳ μάλιστα
for these(-things) we-do now with at-least (a)-just especially
κριτῇ καὶ μὴ παραπολὺ τὴν γνώμην πρὸς τὴν συγγνώμην
judge and not overmuch the mind toward the pardon
ἐπιρρεπῶς ἔχοντι, οὐκ εἰς ἔλεον, οἶμαι, κινοῦμεν τὸν
inclined having not to mercy I-think we-move —
θεὸν, ἀλλὰ τῶν ὑπηργμένων ἡμῖν ἁμαρτημάτων κατήγοροι
god but of-the having-been-done by-us sins accusers
καθιστάμεθα πικροί. Οἱ γὰρ οὔτ' ἀτενὲς σωφρόνως καὶ
we-are-made bitter the(-ones) for neither steadily temperately and
θεοφιλῶς ἐπιστάμενοί τε καὶ κατισχύοντες ἐμβιοῦν, εἶτα
god-lovingly knowing-how both and being-strong to-live then
πρὶν ἢ τῶν κακῶν ἐπιδήμιος ἡ φορὰ, μηδὲν εἰς ἀρετῆς
before than of-the evils present the onrush nothing toward of-virtue
καὶ σωτηρίας λόγον πραξάμενοι, ἀλλ' ἀμελῶς οὕτω καὶ
and of-salvation account having-done but carelessly thus and
ῥαθύμως τὰς ἑαυτῶν ψυχὰς τοῖς πάθεσι κηλιδώσαντες,
lazily the of-themselves souls with-the passions having-stained
πῶς οὐκ αὐτοκατακρίτους εἰσάγουσιν ἑαυτούς; Τί γὰρ νῦν
how not self-condemned do-they-bring-in themselves why for now
πενθῶν οὐ πρότερον ἐξίστασο γελώτων μὲν ἀκρατῶν,
mourning not before did-you-depart-from laughters indeed unrestrained

ᾀσμάτων δὲ πορνικῶν καὶ ἀθυρμάτων θυμελικῶν; Τί δὲ
songs and harlotrous and amusements theatrical why and
σκυθρωπάζων νυνὶ τὰς ὀφρῦς συνῆγες καὶ τὰς παρειὰς
scowling now the brows did-you-draw-together and the cheeks
ἐξῆρες, τὸ πρόσωπον τυραννίδος δεικνύων μεστόν;
did-you-puff-out the face of-tyranny showing full
Τί δ' ἐλεῶν τοὺς ἠδικημένους καὶ συμπαθεῖν
why and pitying the wronged and to-sympathize
σεμνυνόμενος λοιμὸς αὐτὸς τοῖς παρατυχοῦσιν ἐνέπιπτες
priding-yourself (a)-plague yourself on-the(-ones) chancing you-fell-upon
ἀπροσδοκήτως; καὶ, λόγῳ ἑνὶ, τί νῦν πᾶσι καὶ πάντα
unexpectedly and in-word one why now to-all and in-all(-things)
χρηστὸς ὢν οὐδενὶ παρεῖχες πρότερον μέτριον σαυτὸν, ἀλλὰ
kind being to-no-one did-you-show before moderate yourself but
χειρῶν μὲν ἄρχων ἀδίκων ἐμεγαλοφρόνεις, ἀμύνασθαι δὲ
of-hands indeed beginning unjust you-were-proud to-avenge-yourself-on but
τὸν ὑπονοηθέντα εἰ μὴ διεπράξω, οὐδὲ βιωτόν σοι
the(-one) suspected if not you-accomplished(-it) not-even livable to-you
τὸν βίον ἐνόμιζες; Καὶ πένης μὲν πρὸ πυλῶν λιμώττων
the life you-thought and (the)-poor indeed before (the)-gates starving
διέρριπτο βδέλυγμα, οἱ δὲ πρὸς γέλωτα εὐδοκιμοῦντες
was-flung-aside (an)-abomination the(-ones) but for laughter well-thought-of
τῆς σῆς ἐμπιπλάμενοι τραπέζης καὶ περιουσίας οὐδὲν
of-the your filling-themselves table and abundance in-nothing
ἧττον ἐνετρύφων καὶ τῆς εὐηθείας, καὶ φίλων μὲν
less reveled and in-the silliness and of-friends indeed
στοργὴν μικροῦ παρέβλεπες λήμματος, συγγενείας δὲ
affection for-little you-overlooked of-gain of-kinship and
φύσιν διέπτυες καὶ δεσμοὺς βοηθείας ἐρρήγνυες, ἐρινυώδης
nature you-spat-upon and bonds of-help you-broke fury-like
τις ὥσπερ εἶναι φιλονεικῶν καὶ μισάνθρωπος ἄνθρωπος,
someone as-if to-be striving and man-hating (a)-man

πολλοῦ γε δὴ δέω καταλέγειν κλοπάς τε καὶ ἁρπαγὰς
far indeed indeed I-lack to-list thefts both and robberies
πορνείας τε καὶ μοιχείας καὶ τὰς ἄλλας ἀρρητοποιίας, τὰ
fornications both and adulteries and the other unspeakable-deeds the
μεγάλα καὶ πολυαρχῆ ταυτησὶ τῆς ἐκπυρσευθείσης ἡμῖν καὶ
great and many-headed of-this the kindled-into-a-blaze for-us and
περιχυθείσης φλογὸς ὑπεκκαύματα. Οἶδα ὅτι ταῦτα νυνὶ
poured-around flame tinders I-know that these(-things) now
καὶ ὑμεῖς ἀναλογιζόμενοι πενθεῖτε καὶ σκυθρωπάζετε· ἀλλ'
also you reckoning mourn and scowl but
ὀξὺς μὲν ὁ καιρὸς, ἀδέκαστος δὲ ὁ κριτής, ἡ δ' ἀπειλὴ
sharp indeed (is)-the time incorruptible and the judge the and threat
φοβερὰ, τὸ δὲ πλῆθος τῶν ἡμαρτημένων πολὺ, καὶ οὐκ
fearful the and multitude of-the sins-committed great and not
ἐξαρκοῦσα ἡ μετάνοια. Ἐγὼ πολλάκις ὑμῶν τοῖς ὠσὶ τοὺς
sufficient the repentance I often of-you in-the ears the
παραινετικοὺς κατέσπειρα λόγους, τοὺς ἀπειλητικοὺς, ἀλλ',
exhorting sowed words the threatening but
ὡς ἔοικεν, εἰς ἀκάνθας ἐξέφυσα· ἐδυσώπησα, ἐπέπληξα·
as it-seems into thorns I-made(-them)-grow I-shamed(-you) I-rebuked(-you)
πολλάκις ὑμῖν τὴν τῶν Σοδομιτῶν ὑπέδειξα τέφραν καὶ τὸν
often to-you the of-the Sodomites I-pointed-out ash and the
πρὸ ταύτης κατακλυσμὸν, ἡνίκα τοῖς ὕδασι ἐπικαταρρύτου
before it flood when with-the waters flooded
γεγενημένης τῆς γῆς ὁ τοῦ ἀνθρωπείου γένους συνετελέσθη
having-become the earth the of-the human race was-accomplished
παγκόσμιος ὀλεθρός. Πολλάκις τὸν Ἰσραηλίτην παρέστησα
world-wide destruction often the Israelite I-set-before(-you)
λαὸν τὸν περιούσιον, τὸν ἠγαπημένον, τὸ βασίλειον
people the peculiar the beloved the royal
ἱεράτευμα, διὰ γογγυσμὸν, δι' ἀντιλογίαν, δι'
priesthood because-of grumbling because-of contradiction because-of

ἀχαριστίαν, διὰ παραπλήσιον πλημμέλημα μαστιζόμενον,
ingratitude because-of (a)-similar offense scourged
ταπεινούμενον ὑπὸ τῶν ἡττωμένων ἐχθρῶν καὶ κάθ᾽ ὧν
humbled by the defeated enemies and against whom
αὐτὸς ἐτροπαιοφόρει ἐλασσούμενον, πίπτοντα, διολλύμενον.
it triumphed diminished falling perishing
Πολλάκις ὑμῖν ὑπετιθέμην· φυλάξασθε, διορθώθητε,
often to-you I-suggested be-on-guard be-corrected
ἐπιστράφητε, μὴ ἀναμείνητε στιλβωθῆναι τὴν ῥομφαίαν·
turn not wait to-be-whetted the sword
τὸ τόξον ἐντείνεται· μὴ τὴν μακροθυμίαν ἀφορμὴν
the bow is-being-bent not the long-suffering (as)-occasion
καταφρονήσεως λάβητε, μὴ κατὰ τῆς χρηστότητος
of-contempt take not against the kindness
πονηρεύησθε· ἀλλὰ πῶς ὑμῶν τὰς καρδίας ἤδη
act-wickedly but how of-you the hearts already
φλεγμαινούσας ἐπιξέσω; Ἢ κρεῖττον νῦν ἀλγυνομένους
inflamed shall-I-scrape truly (is-it)-better now pained
ἐπιπλῆξαι ἢ ἐκεῖθεν ἀνεπιτιμήτους δίκας ὑφέξοντας
to-rebuke than there unrebuked penalties going-to-undergo
παραπέμψαι, καὶ τὴν παροῦσαν συμφορὰν τοῦ πρὸς ὑμᾶς
to-send-off and the present calamity of-the toward you
ἐλέγχου συνεργὸν προσλαβεῖν ἢ διευλαβηθέντα τὸ πάθος
reproof (as)-fellow-worker to-take or having-been-cautious the suffering
ἀνεξέλεγκτον καταλιπεῖν τὸ ἀπειθῆσαν καὶ ἡμαρτηκός.
unrefuted to-leave the having-disobeyed and having-sinned(-part)
Τί οὖν; ἐνουθετήσαμεν, ἠπειλήσαμεν, θεὸν λέγοντες· ὁ
what then we-admonished we-threatened god saying —
θεὸς ἡμῶν ζηλωτὴς, μακρόθυμος, ἀλλ᾽ ἐὰν ὀργισθῇ, τίς
god our (is)-jealous long-suffering but if he-be-angered who
ὑποστήσεται; Ταῦτα ἔλεγον, ἀλλ᾽, ὡς ἔοικεν, εἰς πῦρ
will-withstand(-it) these(-things) I-said but as it-seems into fire

ἔξαινον· τοῦτο γάρ μοι τὸ νῦν εἶναι, ὡς εἴθε μὴ
I-was-carding(-wool) this for to-me the now to-be as would-that not
ὤφελεν, παροιμιάσασθαι καίριον· οὐ γὰρ ἐπεστράφητε,
it-had-been-fitting to-use-as-proverb timely not for you-turned
οὐδὲ μετενοήσατε, ἀλλ' ἐβαρύνατε τὰ ὦτα τοῦ μὴ
nor repented but you-made-heavy the ears for-the not
εἰσακούειν λόγον κυρίου. Διὰ τοῦτο ἐξεχύθη ἐφ'
to-hear (the)-word of-(the)-lord because-of this was-poured-out upon
ἡμᾶς ὁ θυμὸς αὐτοῦ καὶ ἐγρηγόρησεν ἐν ταῖς ἁμαρτίαις
us the anger his and he-kept-watch in the sins
ἡμῶν, καὶ τὸ πρόσωπον αὐτοῦ ἐστήριξεν ἐφ' ἡμᾶς.
our and the face his he-fixed upon us
«Οἴμοι ὅτι ἐμακρύνθη ἡ παροικία μου», καὶ μὴ μακρᾶς
woe-is-me that was-prolonged the sojourning my and not long
οὔσης μετὰ τοῦ ψαλμῳδοῦ βοήσομαι Δαυίδ, ἐμακρύνθη·
being with the psalmist I-will-cry David was-prolonged
ὅτι οὐκ εἰσηκούσθην παρακαλῶν, ὅτι νέφος βαρβάρων
because not I-was-heard exhorting because (a)-cloud of-barbarians
ὁρῶ τοῖς πταίσμασι καταξηρανθεῖσαν τὴν πόλιν ἡμῶν
I-see by-the offenses withered the city our
τοῖς αἵμασιν ἐπικλύζοντας. Οἴμοι ὅτι ἐπὶ τούτοις
with-the bloods flooding woe-is-me that for these
ἐφυλαττόμην τοῖς κακοῖς ἐγὼ, ὅτι «ἐγενήθημεν ὄνειδος
I-was-kept the evils I that we-became (a)-reproach
τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς
to-the neighbors our (a)-mockery and derision to-the(-ones)
κύκλῳ ἡμῶν», ὅτι βαρβάρων ἄπιστος δρόμος οὐκ ἔδωκε
around us that of-barbarians incredible course not gave
τῇ φήμῃ καιρὸν ἀγγελίας, ὡς ἄν τις ἀσφάλεια
to-the report time of-announcement so-that — some safety
περινοηθείη, ἀλλὰ σύνδρομον ἔσχεν ἡ θέα τὴν ἀκοὴν καὶ
might-be-devised but concurrent had the sight the hearing and

τὸ πεπονθέναι, χώραις πόσαις ἐθναρχίαις τε καὶ ποταμοῖς
the to-have-suffered countries how-many (and)-nations both and rivers
ναυσιπόροις καὶ ἀλιμένοις πελάγεσι τῶν ἐπελασάντων
navigable and harborless seas the having-marched-against
διειργομένων. Οἴμοι ὅτι ἔθνος ὠμὸν καὶ ἀνήμερον ἐπ᾽
being-separated woe-is-me that (a)-nation savage and untamed in
ἀδείας ὁρῶ τῆς πόλεως περιχεόμενον καὶ τὰ πρὸ τῆς
fearlessness I-see the city pouring-around and the(-things) before the
πόλεως ληιζόμενον, πάντα φθεῖρον, πάντα λυμαινόμενον,
city plundering all(-things) destroying all(-things) ruining
ἀγροὺς, οἰκίας, βοσκήματα, ὑποζύγια, γύναια, παιδάρια,
fields houses cattle beasts-of-burden women children
πρεσβύτας, νεανίας, διὰ πάντων τὸ ξίφος ὠθούμενον,
old-men young-men through all the sword thrusting
οὐδενὸς λαμβάνον οἶκτον, οὐδενὸς φειδόμενον. Παγγενὴς
of-no-one taking pity no-one sparing all-embracing
ἡ καταφθορὰ, ὡς ἀκρὶς ἐν ληίῳ, καὶ ὡς ἐρυσίβη ἐν
the destruction as (a)-locust in (a)-cornfield and as blight in
ἀμπελῶνι, μᾶλλον δὲ ὡς πρηστὴρ ἢ τυφὼν ἢ χειμάρρους ἢ
(a)-vineyard rather and as (a)-whirlwind or typhoon or torrent or
οὐκ οἶδ᾽ ὅ τι εἴπω εἰς τὴν χώραν ἡμῶν εἰσπεσὸν αὐταῖς
not I-know what thing I-shall-say into the country our having-fallen with-their
γενεαῖς τοὺς κατοικοῦντας ἀνάλωσε. Μακαρίζω τοὺς
generations the inhabitants it-consumed I-call-blessed the(-ones)
τῆς παλαμναίας καὶ βαρβάρου χειρὸς ἔργον γεγονότας,
of-the murderous and barbarian hand (the)-work having-become
ὅτι τεθνηκότες θᾶσσον διέφυγον τὴν συναίσθησιν τῶν
because having-died sooner they-escaped the perception of-the
κατασχόντων ἡμᾶς ἀνελπίστων συμφορῶν. Εἰ δὲ αἴσθησις
having-seized us unhoped-for calamities if and perception
ἦν αὐτοῖς τούτοις ἀποιχομένοις, ἐθρήνησαν ἂν
were to-them these departed they-would-have-lamented —

κἀκεῖνοι σὺν ἐμοὶ τοὺς ἔτι περιόντας, ὧν τε διὰ
they-too with me the(-ones) still surviving what-things both through
παντὸς πάσχουσι καὶ οἵων ἀλγεινῶν ἀναπλησθέντες οὐκ
all they-suffer and with-what pains having-been-filled not
ἀπαλλάσσονται, καὶ ἐν ᾧ ζητοῦντες τὸν θάνατον οὐχ
they-are-freed and in which seeking the death not
εὑρίσκουσι. Πολλῷ γὰρ αἱρετώτερον ἅπαξ θανεῖν τοῦ
they-find by-much for more-to-be-chosen once to-die than-the
διὰ παντὸς ἐλπίζειν θανεῖν καὶ τοῖς τῶν πλησίον πάθεσι
through all to-expect to-die and at-the of-the neighbors sufferings
συνεχῶς ἀλγεῖν καὶ σπαράσσεσθαι τὴν ψυχήν.
continually to-grieve and to-be-torn the soul
Ποῦ νῦν βασιλεὺς ὁ φιλόχριστος; ποῦ τὰ στρατόπεδα;
where now (is-the)-emperor the Christ-loving where the armies
ποῦ τὰ ὅπλα, τὰ μηχανήματα, αἱ στρατηγικαὶ βουλαί
where the arms the engines the generals' counsels
τε καὶ παρασκευαί; οὐ βαρβάρων ἄλλων ἔφοδος ἐφ'
both and preparations (has)-not of-barbarians other (an)-attack to
ἑαυτὴν ταῦτα πάντα μετέστησέ τε καὶ μεθειλκύσατο;
itself these(-things) all transferred both and drawn-away
Καὶ βασιλεὺς μὲν ὑπερορίους πόνους καὶ μακροὺς ἀνατλᾷ,
and (the)-emperor indeed beyond-the-borders toils and long endures
συναπῆρέ τε καὶ συνταλαιπωρεῖ τὸ στρατιωτικόν·
marched-out-with(-him) both and toils-with(-him) the soldiery
ἡμᾶς δὲ ὁ κατ' ὀφθαλμοὺς ὄλεθρος καὶ φόνος δαπανᾷ,
us but the before eyes destruction and slaughter consumes
τοῖς μὲν ἐπελθὼν, τοῖς δ' ἤδη ἐπερχόμενος. Τὸ δὲ
some indeed having-come-upon others and already coming-upon the and
Σκυθικὸν τοῦτο καὶ ὠμὸν ἔθνος καὶ βάρβαρον ἐξ αὐτῶν
Scythian this and savage nation and barbarian from themselves
τῶν τῆς πόλεως ἐξερπύσαν προπυλαίων μονιοῦ δίκην
the of-the city having-crept-out porches (of-a)-boar like

ἀγρίου τὰ πέριξ αὐτῆς κατενεμήσατο. Τίς οὖν ἡμῶν
wild the(-parts) around it devoured who then us
προπολεμήσει; τίς ἀντιπαρατάξεται τοῖς ἐχθροῖς; Πάντων
will-fight-for who will-be-arrayed-against the enemies of-all(-help)
ἡμεῖς ἔρημοι, πανταχόθεν ἐξηπορημένοι. Τίς ἐξισωθείη
we bereft from-all-sides at-a-loss what could-be-equal
θρῆνος ταῖς συμφοραῖς; ποῖον ἐξισχύσει δάκρυον ἐπαρκέσαι
lament to-the calamities what-kind will-be-strong tear to-suffice
πρὸς τὸ μέγεθος τῶν περιστοιχισαμένων ἡμᾶς δυσχερῶν;
for the greatness of-the having-surrounded us hardships
Δεῦρό μοι τῶν προφητῶν συμπαθέστατε· συνθρήνησον
come-here for-me of-the prophets most-sympathetic lament-with(-me)
τὴν Ἱερουσαλὴμ, οὐ τὴν παλαιὰν ἐκείνην, ἔθνους
— Jerusalem not the old that of-(a)-nation
ἑνὸς ἐκ μιᾶς ῥίζης δώδεκα στελέχη βλαστήσαντος τὴν
one from one root twelve stems having-sprouted the
μητρόπολιν, ἀλλὰ συμπάσης τῆς οἰκουμένης, ὁπόσην ὁ
mother-city but of-all the world as-much-as the
Χριστιανῶν λαμπρύνει θεσμὸς, τὴν χρόνῳ καὶ κάλλει καὶ
of-Christians illumines law the in-time and in-beauty and
μεγέθει καὶ λαμπρότητι, πολυπληθείᾳ τε τῶν ἐνοικούντων
in-greatness and in-splendor in-multitude and of-the inhabitants
καὶ πολυτελείᾳ δεσπόζουσαν· συνθρήνησόν μοι ταύτην τὴν
and in-costliness ruling lament-with me this —
Ἱερουσαλὴμ, οὐχ ἁλοῦσαν ἤδη καὶ χαμαὶ πεσοῦσαν,
Jerusalem not taken already and to-the-ground fallen
ἀλλ' ἐγγὺς κειμένην τοῦ ἁλῶναι καὶ τοῖς δρωμένοις
but near lying of-the to-be-taken and by-the(-things) being-done
κατασειομένην· συνθρήνησον τὴν βασιλίδα τῶν πόλεων,
shaken lament-with(-me) the queen of-the cities
οὐχ αἰχμάλωτον ἀγομένην, ἀλλὰ τῆς σωτηρίας ἐλπίδος
not (as)-captive led but of-the of-salvation hope

ᾐχμαλωτισμένην. Ζήτησον ὕδωρ τῇ κεφαλῇ καὶ πηγὰς
made-captive seek water for-the head and fountains
δακρύων τοῖς ὀφθαλμοῖς, καὶ συμπένθησον· καὶ πένθησον
of-tears for-the eyes and mourn-with(-me) and mourn
ἐπ᾽ αὐτῇ, ὅτι «κλαίουσα ἔκλαυσεν ἐν νυκτὶ, καὶ τὰ
over her because weeping she-wept in (the)-night and the
δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει
tears her (are)-on the cheeks her and not there-is
ὁ παρακαλῶν αὐτὴν», ὅτι «ἁμαρτίαν ἥμαρτεν
the(-one) comforting her because sin sinned
Ἰερουσαλὴμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο», καὶ οἱ
Jerusalem because-of this into tossing she-came and the(-ones)
τεθηπότες αὐτῆς τὴν ἰσχὺν ἐξεμυκτήρισαν αὐτὴν, ὅτι
having-marveled-at her the strength mocked her because
ἐξαπέστειλε κύριος πῦρ ἐν τοῖς ὀστέοις αὐτῆς καὶ ἐβάρυνε
sent-forth (the)-lord fire into the bones her and made-heavy
τὸν ζυγὸν αὐτοῦ ἐπὶ τὸν τράχηλον ἡμῶν, καὶ «ἔδωκεν
the yoke his on the neck our and gave
ἐν χερσὶν ἡμῶν ὀδύνας», ἃς οὐ δυνησόμεθα ὑποστῆναι.
into hands our pains which not we-shall-be-able to-endure
Συνθρήνησον, ὅτι ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου·
lament-with(-me) because failed in tears the eyes my
«ἡ κοιλία μου ἐταράχθη καὶ ἐστράφη ἡ καρδία μου ἐν ἐμοί,
the belly my was-troubled and was-turned the heart my in me
ὅτι παραπικραίνουσα παρεπίκρανα. Ἔξωθεν ἠτέκνωσέ
because embittering I-embittered from-outside bereaved
με μάχαιρα» καὶ «διήνοιξεν ἐπ᾽ ἐμὲ ὁ ἐχθρὸς στόμα
me (the)-sword and opened against me the enemy (the)-mouth
αὐτοῦ καὶ ἔβρυξεν ὀδόντας καὶ εἶπε· καταπίομαι αὐτήν».
his and gnashed (his)-teeth and said I-will-swallow her

Ὦ πόλις βασιλὶς, οἵων κακῶν περικέχυται ὄχλος·
O city queen with-what evils is-poured-around (a)-mob
καὶ τὰ σὰ τῆς κοιλίας ἔγγονα καὶ τὰ πρὸ τοῦ
and the your of-the womb offspring and the(-things) before the
ἄστεος, [ἃ] λαμπρῶς ἐπεπόλιστο, λαγόνες θαλάσσης
town which splendidly had-been-built (the)-flanks of-sea
καὶ πυρὸς καὶ μαχαίρας στόμα βαρβαρικῷ νόμῳ
and of-fire and of-sword (the)-mouth by-barbarian law
διακληρωσάμενα κατεσθίουσιν. Ὦ πολλῶν ἐλπὶς ἀγαθή,
having-allotted devour O of-many hope good
ὅση χαλεπῶν ἀπειλὴ καὶ δειμάτων πλῆθος περικλύσαν
how-great of-hardships threat and of-terrors (a)-multitude having-flooded
τὰ κύκλῳ τὴν σὴν περιβόητον ἐταπείνωσε δόξαν. Ὦ πόλις
the around the your renowned humbled glory O city
βασιλεύουσα μικροῦ συμπάσης τῆς οἰκουμένης, οἷός
reigning (over)-nearly all the world what-sort-of
σε στρατὸς ἀστρατήγητος καὶ δουλικῶς ἐνεσκευασμένος ὡς
you army without-general and slavishly equipped as
δουλεύουσαν ἐκμυκτηρίζει; Ὦ πόλις πολλῶν ἐθνῶν λαφύροις
(one)-enslaved mocks O city of-many nations with-spoils
ἐκλαμπρυνθεῖσα, οἷον λαφυραγωγεῖν σε διενοήσατο
made-splendid what-sort-of to-plunder you planned
ἔθνος; ὦ πολλὰ στησαμένη κατὰ τῶν πολεμίων Εὐρώπης
(a)-nation O many having-set-up against the enemies of-Europe
τε καὶ Ἀσίας καὶ Λιβύης τρόπαια, ὅπως νῦν ἐπὶ σὲ
both and of-Asia and of-Libya trophies how now against you
βαρβαρικὴ καὶ ταπεινὴ χεὶρ ἐξέτεινε δόρυ, τὸ κατὰ σοῦ
(a)-barbarian and lowly hand stretched-out (a)-spear the against you
κράτος ἐπαρθεῖσα τροπαιοφορῆσαι. Ἐπὶ τοσοῦτον γὰρ
might lifted-up to-triumph to so-much for
κακώσεως πάντα σοι ἥκει, ὥστε καὶ τὴν ἀπροσμάχητόν
of-affliction all(-things) to-you have-come so-that even the unassailable

σου ῥώμην εἰς τρύγα ἐλάσαι βαθυτάτης ἀρρωστίας,
your strength into (the)-dregs to-drive of-deepest weakness
καὶ τὸ ἀρρωστοῦν καὶ τεταπεινωμένον* τῶν ἀντιπάλων
and the weak and humbled of-the opponents
φιλάνθρωπον ὄμμα χειρὸς ἰσχὺν ἐν σοὶ ἀποφαίνειν καὶ
humane eye of-hand strength in you to-display and
δόξης ὀνόματι πειρᾶσθαι διακοσμηθῆναι. Ὦ βασιλὶς
of-glory with-(the)-name to-try to-be-adorned O queen
πόλεων βασιλίδων, πολλὰς μὲν συμμαχίαις ἐξαρπάσασα
of-cities queens many indeed by-alliances having-snatched
κινδύνων, πολλὰς δὲ ἐπὶ γόνυ κλιθείσας ἀνορθώσασα
from-dangers many and on (the)-knee bent having-set-upright
τοῖς ὅπλοις, εἰς προνομὴν δὲ νυνὶ προκειμένη καὶ τῶν
with-the arms for plunder and now lying-before and of-the
συνεπικουρούντων ἐξηπορημένη. Ὦ ναῶν σεβασμίων χάρις
helpers bereft O of-temples venerable grace
καὶ λαμπρότης, ὦ μεγέθη καὶ κάλλη καὶ λεπτουργίαι καὶ
and splendor O greatnesses and beauties and fine-workings and
ἀγλαΐσματα, ὦ θυμάτων ἀναιμάκτων καὶ φρικτῆς θυσίας
ornaments O of-sacrifices bloodless and of-awesome sacrifice
καὶ μυστικῆς τραπέζης, ὦ θυσιαστήριον καὶ χῶρος ἄβατος
and of-mystical table O altar and place untrodden
καὶ σεπτὸς, ὅπως πολεμίων πόδες βεβήλωσιν ἀπειλοῦσι. Ὦ
and august how of-enemies feet to-profane threaten O
σέβας αὐτὸ καὶ πίστις ἄχραντος καὶ λατρεία καθαρὰ, ὅπως
reverence itself and faith undefiled and worship pure how
δυσσεβούντων καθ' ὑμῶν καὶ φρυαττομένων πλατύνεται
of-(the)-impious against you and of-(those)-snorting is-widened
στόμα. Ὦ ἱερέων πολιὰ καὶ χρίσμα καὶ ἱερωσύνη· ὤ
(the)-mouth O of-priests gray-hairs and anointing and priesthood O
μοι τέμενος ἱερὸν θεοῦ καὶ θεοῦ σοφία ὁ τῆς οἰκουμένης
me sanctuary holy of-god and of-god wisdom the of-the world

ἀκοίμητος ὀφθαλμός. Θρηνήσατε, παρθένοι, θυγατέρες
sleepless eye lament virgins daughters
Ἱερουσαλήμ· κλαύσατε, νεανίσκοι πόλεως Ἱερουσαλήμ,
of-Jerusalem weep young-men of-(the)-city Jerusalem
πενθήσατε καὶ μητέρες, δακρύσατε νήπια, δακρύσατε· τὸ
mourn and mothers weep infants weep the
μέγεθος γὰρ τοῦ πάθους καὶ ὑμᾶς εἰς συναίσθησιν ἐκβιάζεται·
greatness for of-the suffering also you into awareness forces
δακρύσατε ὅτι ἐπλήθυνεν ἡμῖν τὰ κακὰ καὶ οὐκ ἔστιν ὁ
weep because multiplied to-us the evils and not there-is the(-one)
ἐξαιρούμενος, οὐκ ἔστιν ὁ βοηθός. Ἀλλὰ μέχρι τίνος
delivering not there-is the(-one) helping but until what(-time)
ὁ θρῆνος, μέχρι τίνος τὸ πένθος, μέχρι τίνος ὁ
the lament until what(-time) the mourning until what(-time) the
ὀλολυγμός; Τίς εἰσακούσεται, καὶ πῶς ἡ θραῦσις κοπιάσει;
wailing who will-hear and how the ruin will-abate
Τίς ἐξιλάσεται; τίς βοήσεται ὑπὲρ ὑμῶν; εἴ τις ἦν Μωυσῆς,
who will-propitiate who will-cry-out for you if anyone were (a)-Moses
εἶπεν ἂν πρὸς κύριον. «ἐὰν αὐτοῖς ἀφῇς, ἄφες· εἰ δὲ
he-would-have-said — to (the)-lord if them you-forgive forgive if but
μὴ, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου τῆς ζωῆς, ἧς ἔγραψας.»
not blot-out me-too from the book of-the life which you-wrote
Καὶ πρὸς ἡμᾶς δέ· «κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ
and to us too (the)-lord will-fight for us and
ἡμεῖς σιγήσομεν.» Ἀλλ' οὐκ ἔστιν, ὅτι ἐκλέλοιπεν ὁ θεὸς
we will-keep-silent but not it-is(-so) because has-failed — god
ἀπὸ τῆς γῆς· οὐκ ἔστι Μωυσῆς· οὐκ ἔστιν Ἀβραὰμ ὥστε
from the earth not there-is (a)-Moses not there-is (an)-Abraham so-as
διᾶραι τὸ στόμα καὶ παρρησιάσασθαι καὶ εἰπεῖν πρὸς τὸν
to-open the mouth and to-speak-boldly and to-say to —
θεόν· «μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται
god not destroy-together (the)-righteous with (the)-impious and will-be

ὁ δίκαιος ὡς ὁ ἀσεβής.» Οὐκ ἔστιν ὅστις ἐπέλθοι τὰς
the righteous as the impious not there-is anyone-who would-go-through the
φιλανθρώπους ἐκείνας καὶ θαυμασίους τῶν λόγων ἐπαγωγὰς,
humane those and wonderful of-the words inductions
δι᾽ ὧν ἐπὶ δέκα δικαίοις τὴν μυριάνθρωπον πόλιν ἔξω
through which for ten righteous the myriad-peopled city outside
φύσεως φερομένην ἐντὸς σωτηρίας ἠξίου γενέσθαι καὶ πρὸς
nature borne within salvation he-asked to-become and from
τοῦ τῶν ὅλων ἀκοῦσαι θεοῦ ὡς «ἐὰν εὑρεθῶσι ἐν τῇ πόλει
the of-the all(-things) to-hear god that if be-found in the city
δέκα, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα.» Οὐκ ἔστιν
ten not — I-will-destroy(-it) for-the-sake-of the ten not there-is
οὖν Μωυσῆς, οὐκ ἔστιν Ἀβραάμ· ἀλλ᾽ ἐὰν ὑμεῖς βούλησθε
then (a)-Moses not there-is (an)-Abraham but if you wish
(παράδοξον μὲν ἐρῶ, ἀληθὲς δέ), ὅμως δύνασθε ὑμῖν
(a)-paradox indeed I-will-say true but nevertheless you-can for-you
ἑαυτοῖς Μωυσέα παρασκευάσαι, δύνασθε Ἀβραὰμ δεῖξαι.
yourselves (a)-Moses to-prepare you-can (an)-Abraham to-show
Καὶ Μωυσῆς γὰρ, ἀνεπιστρόφως ἔχοντος τοῦ λαοῦ, δεινὸν
and Moses for unrepentant being the people (was)-terrible
οὔπω δεινὸν, εἰ πρεσβεύων παρηκούετο· ἀλλ᾽ ἐκεῖνο λίαν
not-yet terrible if interceding he-was-disregarded but that very
φοβερὸν, ὡς πολλοὺς πολλάκις ὑπὲρ ὧν ἅπαντα ἔπραττεν
fearful that many often for whom all(-things) he-did
ὑποχείρια διεχρήσατο. Καὶ Ἀβραὰμ δὲ περὶ ὧν ἐδυσώπει
subject he-destroyed and Abraham too about whom he-entreated
καὶ ἱκέτευεν, τούτους ἑώρα τὸν βίον εἰς πυρὸς δαπάνην
and supplicated these(-men) he-saw the life into of-fire consumption
καταστρέφοντας, ὅτι παθῶν αὐτοῖς ἄκανθαι τὸ γεώργιον
ending because of-passions for-them thorns the field
ἦν. Δύνασθε, ἐὰν βούλησθε, ἵνα λέγῃ κἀκεῖνος πρὸς ὑμᾶς·
was you-can if you-wish that may-say he-too to you

«κύριος πολεμήσει ὑπὲρ ἡμῶν, καὶ ἡμεῖς σιγήσομεν.»
(the)-lord will-fight for us and we will-keep-silent
Ποθεῖτε μαθεῖν ὅπως δέδοικα τὸν κλαυθμὸν ὑμῶν; ὅτι
do-you-long to-learn how I-fear the weeping your that
πρόσκαιρος· τὴν ἐλεημοσύνην ὑμῶν, ὅτι πρὸς βραχύ· τὴν
(it-is)-transient the almsgiving your that for (a)-short(-time) the
σωφροσύνην, ὅτι ἐφήμερος· τὴν φιλαδελφίαν, ὅτι μέχρις ἂν
temperance that (it-is)-ephemeral the brotherly-love that as-long-as —
τὸ δυσμενὲς τῶν κύκλῳ ἐχθρῶν, ἅτε δὴ κοινὸν ὑπάρχον
the hostility of-the around enemies inasmuch-as indeed common being
κακὸν, εἰς ὁμόνοιαν ὑμᾶς συνωθεῖ· τὸ ταπεινὸν καὶ μέτριον
evil to concord you drives-together the humility and moderation
τῶν ἠθῶν, ὅτι μέχρις ἂν ἡ αἰχμαλωσία ἐμπρόθεσμος·
of-the manners that as-long-as — the captivity (is)-imminent
τὸν τῦφον πατούμενον καὶ τὸν θυμὸν χαλινούμενον καὶ
the pride trampled and the anger bridled and
τὴν γλῶτταν πνευματικῶν ᾀσμάτων, ἀλλὰ μὴ αἰσχρῶν
the tongue of-spiritual songs but not of-shameful
ῥημάτων δεικνυμένην ὄργανον, ὅτι μέχρις ἂν τῶν
words shown (as)-instrument that as-long-as — of-the
πολεμίων οἱ ἀλαλαγμοὶ τοῖς ὠσὶν ὑμῶν προσαράσσουσι·
enemies the war-cries on-the ears your dash
τὰς λιτὰς καὶ τὰς παννύχους στάσεις καὶ τὴν νηστείαν
the supplications and the all-night vigils and the fasting
καὶ τοὺς στεναγμοὺς, ὅτι μέχρις ἂν ὁ διὰ ξίφους θάνατος.
and the groans that as-long-as — the by sword death
Ταῦτά με ταράττει καὶ θορυβεῖ πολὺ τῶν ὅπλων πλέον
these(-things) me trouble and disturb much than-the arms more
τῶν βαρβαρικῶν. Ταῦτα δέδοικα ῥᾳδίως νυνὶ καὶ παρὰ
the barbarian these(-things) I-fear easily now and by
πάντων ἅμα ὁρῶν συντελούμενα, ὅτι πρότερον οὐδ'
all at-once seeing accomplished which before not-even

ἐνίοις τισὶν οὐδὲ χωρὶς καὶ μόλις ἐπράττετο. Φοβεῖ
by-some certain(-ones) nor apart and scarcely was-done frightens
με καὶ ἀνιᾷ ὅτι ὅταν ἵσταται ἡ πληγὴ, τότε καὶ ἡμεῖς
me and grieves that when stops the blow then also we
σεμνυνόμεθα τὴν ἐπιστροφὴν, ὅτι ὅταν ἐπιστῇ τὰ λυπηρὰ,
pride-ourselves-on the turning that when come-on the painful(-things)
τότε πρὸς τὰς πράξεις καταφεύγομεν τὰς χρηστάς. Διὰ
then to the deeds we-flee the good because-of
τοῦτο νῦν οὐκ ἔστι Μωυσῆς οὐδὲ Ἀβραάμ. Εἰ δὲ καὶ
this now not there-is (a)-Moses nor (an)-Abraham if but even
παρελθούσης τῆς νῦν ἡμᾶς κατεχούσης συμφορᾶς, τὴν
having-passed the now us holding calamity the
αὐτὴν κοσμιότητα καὶ τάξιν καὶ κατάστασιν ἐφυλάττετε,
same orderliness and order and condition you-would-keep
πολλοὺς ἂν Μωυσέας καὶ Ἀβραὰμ προπολεμεῖν ὑμῶν
many — Moseses and Abrahams to-fight-for you
καὶ ὑπὲρ ἡμῶν ἐξιλεοῦσθαι προεβάλλετο θεός. Καὶ τί
and for us to-propitiate(-him) would-put-forward god and why
λέγω Μωυσέα καὶ Ἀβραάμ; αὐτὸν τὸν κοινὸν δεσπότην
do-I-say Moses and Abraham himself the common master
ἡμῶν τε κἀκείνων πρόμαχον ἡμῶν καὶ προασπιστὴν
of-us both and-of-them champion our and defender
ἀπεργάζεσθε, τὸν ἐπαγαγόντα τὸν ἐχθρὸν διὰ τὰς
you-make the(-one) having-brought-on the enemy because-of the
ἁμαρτίας ἡμῶν θραύοντα τῶν ἐχθρῶν τὴν ἰσχὺν, τὸν
sins our breaking of-the enemies the strength the(-one)
παιδεύοντα ἰώμενον, τὸν ὀργιζόμενον φιλανθρωπευόμενον·
chastening healing the(-one) being-angry being-humane
μεγάλη γὰρ ἡ ἐλεημοσύνη κυρίου τοῦ θεοῦ ἡμῶν καὶ
great for (is)-the mercy of-(the)-lord — god our and
ἐξιλασμὸς αὐτοῦ τοῖς ἐπιστρέφουσιν ἐπ᾽ αὐτὸν ὁσίως,
propitiation his to-the(-ones) turning to him holily

«καὶ [νῦν] βελτίους ποιήσατε», διὰ Ἱερεμίου βοᾷ, «τὰς
and now better make through Jeremiah he-cries the
ὁδοὺς ὑμῶν καὶ τὰ ἔργα ὑμῶν, καὶ ἀκούσατε τῆς φωνῆς
ways your and the works your and hear the voice
κυρίου, καὶ παύσεται κύριος τῶν κακῶν, ὧν ἐλάλησεν
of-(the)-lord and will-cease (the)-lord from-the evils which he-spoke
ἐφ' ὑμᾶς». Ἀλλ' οὐ βούλεσθε. Μὴ βοᾶτε μηδὲ θορυβεῖσθε·
against you but not you-wish not cry nor be-troubled
κρεῖσσον ἦν ἡσύχως εὐχαριστεῖν, ἀλλὰ μὴ διωλύγιον βοᾶν
better it-was quietly to-give-thanks but not loud to-cry
ὑπὲρ ὧν μὴ ἐπάσχομεν, ἀλλὰ μὴ περὶ τοῦ δεδιέναι παθεῖν
for what not we-suffered but not about the to-fear to-suffer
ἃ τοῖς οὐκ ὀρθῶς βιοῦσιν ἕπεται παθεῖν, ἐφ' ᾧ τῶν
what to-the(-ones) not rightly living follows to-suffer at which of-the
ἀγαθῶν ἡμῖν αἱ κατὰ τὸν βίον ἄφθονοι πηγαὶ ἀνεδίδοντο,
good(-things) for-us the in the life abundant springs were-sent-up
ἀλλὰ μὴ τῶν χαλεπῶν ἡμῖν ἀπείρων ὄχλον ἐπὶ ξυροῦ
but not of-the hardships for-us boundless (a)-crowd on (the)-razor-edge
βεβηκότα πειρᾶσθαι φυγεῖν. Ἀλλὰ στήσατε τὸν κλαυθμὸν,
standing to-try to-flee but check the weeping
παύσασθε τούτων, ἀσφαλεῖς φύλακες γένεσθε, τολμῶ καὶ
cease from-these safe guards become I-dare and
λέγω ἐγὼ τῆς σωτηρίας ὑμῖν ἐγγυητής· ταῖς ἐπαγγελίαις
I-say I of-the salvation to-you (am)-surety in-the promises
ὑμῶν θαρρῶν τοῦτό φημι, οὐ ταῖς πράξεσι ταῖς ἐμαῖς, ταῖς
your trusting this I-say not in-the deeds the mine in-the
ὑμῶν ὑποσχέσεσιν, ἀλλ' οὐ ταῖς ἐμαῖς φωναῖς. Ἐγὼ ὑμῖν
your undertakings but not in-the my words I to-you
ἐγγυῶμαι τὴν σωτηρίαν, ἂν αὐτοὶ βεβαίως συντηρήσητε
guarantee the salvation if you-yourselves firmly keep
τὰς ὁμολογίας, ἐγὼ τὴν τῶν δυσχερῶν ἀπαλλαγὴν, ἂν
the confessions I the from-the hardships deliverance if

ὑμεῖς πάγιον τὴν ἐπιστροφὴν, ἐγὼ τὴν ὑποχώρησιν τῶν
you firm(-keep) the conversion I the withdrawal of-the
ἐχθρῶν, ἂν τὴν ἀναχώρησιν ὑμεῖς τῶν παθῶν· μᾶλλον δὲ
enemies if the withdrawal you of-the passions rather and
οὐδὲ τούτων ἐγὼ ἐγγυητὴς, ἀλλὰ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ
not-even of-these I (am)-surety but also for myself and
ὑπὲρ ὑμῶν, ἂν ἄρα τῶν συνθηκῶν ὑμῶν ἀπροφάσιστοι
for you if then of-the covenants your unhesitating
γένησθε πληρωταὶ, ὑμᾶς αὐτοὺς προβάλλομαι ἐγγυητὰς,
you-become fulfillers you yourselves I-put-forward (as)-sureties
ὑμᾶς ἀποφαίνω πρεσβευτὰς, καί γε κύριος φιλάνθρωπος
you I-declare ambassadors and indeed (the)-lord humane
ὢν καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων ἐρεῖ πρὸς
being and repenting for (the)-wickednesses of-men will-say to
ὑμᾶς· «ἰδοὺ ἀπαλείφω ὡς νεφέλην τὰς ἀνομίας σου
you behold I-blot-out as (a)-cloud the transgressions your
καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου· ἐπιστράφηθι ἐπ᾽ ἐμὲ,
and as darkness the sins your turn to me
καὶ λυτρώσομαί σε»· καὶ «ἐπιστράφητε πρός με, καὶ
and I-will-redeem you and turn to me and
ἐπιστραφήσομαι πρὸς ὑμᾶς»· καὶ «πέρας λαλήσω ἐπὶ
I-will-turn to you and at-last I-will-speak against
ἔθνος ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτοὺς καὶ ἀπολλύειν,
(a)-nation or against (a)-kingdom the to-root-out them and to-destroy
καὶ ἐὰν ἐπιστραφῇ τὸ ἔθνος ἐκεῖνο ἀπὸ τῶν κακῶν αὐτῶν,
and if turn the nation that from the evils their
μετανοήσω κἀγὼ περὶ πάντων τῶν κακῶν, ὧν ἐλογισάμην
I-will-repent I-too about all the evils which I-reckoned
τοῦ ποιῆσαι αὐτοῖς». Τὸ λοιπὸν, ἀγαπητοὶ, πρὸς τὴν
the to-do to-them for-the rest beloved to the
μητέρα τοῦ λόγου, τὴν μόνην ἡμῶν ἐλπίδα καὶ καταφυγὴν,
mother of-the word the only our hope and refuge

καιρὸς ἐφέστηκε προσδραμεῖν. Ταύτῃ βοήσωμεν ποτνιώμενοι·
time has-come to-run-to her let-us-cry-to beseeching
«Σῶσον πόλιν σὴν, ὡς οἶδας, ὦ δέσποινα.» Ταύτην πρὸς
save (the)-city your as you-know O lady her to
τὸν υἱὸν αὐτῆς καὶ θεὸν ἡμῶν μεσῖτιν στησώμεθα, καὶ τῶν
the son her and god our (as)-mediator let-us-set and of-the
διομολογηθέντων ἡμῶν μάρτυρα καὶ ἐγγυητὴν ποιησώμεθα,
agreements our witness and surety let-us-make
καὶ τὰς ἡμετέρας αἰτήσεις διαπορθμεύουσαν καὶ τὴν παρὰ
and the our requests ferrying and the from
τοῦ τεχθέντος ἐξ αὐτῆς φιλανθρωπίαν ἐπομβρίζουσαν
the(-one) born from her love-of-mankind raining-down
καὶ τὸ νέφος τῶν ἐχθρῶν διασκεδάζουσαν καὶ τὰς τῆς
and the cloud of-the enemies scattering and the of-the
σωτηρίας ἡμῖν αὐγὰς ἀναλάμπουσαν· ἧς ταῖς πρεσβείαις
salvation for-us rays shining-forth of-whom by-the intercessions
τῆς παρούσης μὲν ῥυσθείημεν ὀργῆς, ῥυσθείημεν δὲ καὶ
from-the present indeed may-we-be-rescued wrath may-we-be-rescued and also
τῆς μελλούσης καὶ ἀτελευτήτου κατακρίσεως, ἐν Χριστῷ
from-the to-come and endless condemnation in Christ
Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα καὶ εὐχαριστία
Jesus the lord our to-whom befits glory and thanksgiving
καὶ προσκύνησις ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι,
and worship together with-the father and the holy spirit
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
now and always and to the ages of-the ages amen

ΟΜΙΛΙΑ Β΄ ΕΙΣ ΤΗΝ ΕΦΟΔΟΝ ΤΩΝ ΡΩΣ

The Second Homily on the Attack of the Rus

Ὁμιλία β΄ εἰς τὴν ἔφοδον τῶν Ῥώς

THE SECOND HOMILY ON THE ATTACK OF THE RUS

The attack, Photius tells the people, came from God's wrath at their sins: God is above anger, but he is said to be angry when he sends the penalty deeds deserve. An obscure nation, counted among slaves, took a name from its campaign against them and poured over their borders like a wave. It spared neither women, infants, old men, nor beasts: children were dashed against rocks, rivers ran with blood, and cisterns were filled with corpses. The city lay at the enemy's mercy; he recalls the night when the ships sailed past it with swords raised on a calm sea. Then each man judged his own sins, and the whole city, with Photius, carried the Virgin's robe around the walls in a litany; the barbarians lifted the siege and fled unexpectedly. He warns them not to forget the vows they made in fear. Israel conquered while it kept the law and fell when it sinned, and a man who is a slave to his passions cannot master his enemies. They are to flee their vices and give thanks to the Virgin, begging her to keep the city.

Οἶδα μὲν ὡς ἅπαντες συνεπίστασθε ὅσοι τε δεινοὶ
I-know indeed that all you-know-together as-many-as both (are)-clever
συνιδεῖν ἀποστροφὴν πρὸς ἀνθρώπους θεοῦ, ὅσοι τε
to-perceive (the)-turning-away toward men of-god as-many-as and
ἀμαθέστερόν πως περὶ τὰ τοῦ κυρίου διάκεισθε κρίματα,
more-ignorantly somehow about the of-the lord are-disposed judgments
πάντας δ' οὖν ὁμῶς συνιέναι καὶ κατανοῆσαι λογίζομαι
all — then alike to-understand and to-perceive I-reckon
τὴν ἐπενεχθεῖσαν ἡμῖν ἀπειλὴν καὶ τὴν τοῦ ἔθνους ἀθρόαν
the brought-upon us threat and the of-the nation massed
ἐπιδρομὴν οὐκ ἄλλοθέν ποθεν ἢ ἐξ ὀργῆς καὶ θυμοῦ
incursion not from-elsewhere from-somewhere than from wrath and anger
παντοκράτορος κυρίου ἡμῖν ἐπισπιλάσαι. Ἀγαθὸν μὲν γὰρ
of-(the)-almighty lord on-us to-have-come-down good indeed for
τὸ θεῖον καὶ θυμοῦ κρεῖττον καὶ παντὸς πάθους, ἅτε
(is)-the divine and anger above and every passion inasmuch-as

δὴ πάσης ὑλαίας διαθέσεως ἀνυπερβλήτῳ λόγῳ τὴν
indeed of-every material disposition by-unsurpassable reason the
ὑπόβασιν κληρωσαμένης τὴν φύσιν ἔχον ὑπερανῳκισμένην·
lowering having-received the nature having raised-above
ὀργίζεσθαι δὲ καὶ θυμοῦσθαι λέγοιτ᾽ ἂν εἰκότως,
to-be-angry but and to-be-wrathful it-might-be-said — fittingly
ἐπειδάν τι τῶν πεπραγμένων θυμοῦ καὶ ὀργῆς κριθὲν
whenever something of-the having-been-done of-anger and wrath judged
ἄξιον τὴν προσήκουσαν ἐκεῖθεν δίκην τοῖς δεδρακόσι
worthy the fitting from-there penalty on-the(-ones) having-done(-it)
ἐπισπάσηται, καθ᾽ ὃν τρόπον καὶ νῦν ἡμῖν ἐπεισφρήσασα
draws-down in which way also now upon-us having-burst-in
κατερράγη συμφορὰ κατὰ πρόσωπον ἡμῶν παριστῶσα τῶν
broke (a)-calamity before (the)-face our presenting of-the
ἁμαρτημάτων τὸν ἔλεγχον. Οὐδὲ γὰρ οὐδὲ ταῖς ἄλλαις τῶν
sins the proof not for not-even to-the other of-the
βαρβάρων καταδρομαῖς προσέοικεν, ἀλλὰ τὸ τῆς ἐφόδου
barbarians raids it-is-like but the of-the attack
παράλογον καὶ τοῦ τάχους τὸ παράδοξον τοῦ τε βαρβάρου
unexpectedness and of-the speed the strangeness of-the both barbarian
φύλου τὸ ἀπάνθρωπον καὶ τῶν τρόπων τὸ ἀπότομον
tribe the inhumanity and of-the ways the severity
καὶ τῆς γνώμης τὸ ἀνήμερον οὐρανόθεν τὴν πληγὴν ὡς
and of-the mind the savagery from-heaven the blow as
σκηπτὸν μηνύει ἐπαφεθῆναι. Οὐχ ὅτι δὲ πάντες τοῦτο
(a)-thunderbolt reveals to-have-been-sent not because but all this
συνεπίστασθε, καὶ ταῖς ὑμῶν καρδίαις ἥ τε τοῦ πάθους
you-know-together and in-the your hearts the both of-the suffering
ὀξύτης καὶ ἡ τοῦ καιροῦ ἀκμὴ τῶν συνενεχθέντων
sharpness and the of-the moment peak of-the(-things) having-befallen
τὸ αἴτιον ἐνεχάραξε, διὰ τοῦτο σιγήσομαι, ἀλλ᾽ ὅτι
the cause engraved because-of this shall-I-keep-silent but because

καὶ ὑμᾶς τῶν εἰρησομένων λαβὼν ἔχω συνίστορας
also you of-the(-things) to-be-said having-taken I-have (as)-fellow-witnesses
διὰ τοῦτο μᾶλλον σὺν ἐλέγχῳ δικαίῳ τοὺς λόγους
because-of this rather with reproof just the words
ποιήσομαι, ἐκεῖνα ὑμῖν ἐκτραγῳδῶν καὶ ὑποκρινόμενος,
I-will-make those(-things) to-you declaiming and acting
ὧν αὐτοὶ τὴν σκηνὴν τοῖς οἰκείοις ἐπηξάμεθα
of-which we-ourselves the stage with-the own fixed
παραπτώμασι καὶ τὸ δρᾶμα συνεπεσκευασάμεθα παθῶν
transgressions and the drama staged-together of-passions
πολυμόρφων θέατρον τὴν ἡμῶν πολιτείαν στησάμενοι.
manifold (a)-theater the our commonwealth having-set-up
Ὀργὴ γὰρ θεοῦ διὰ τὰς ἡμῶν ἁμαρτίας ἐπέρχεται,
wrath for of-god because-of the our sins comes
καὶ τῆς ἀπειλῆς ὕλη τῶν ἁμαρτανόντων αἱ
and of-the threat (the)-material of-the(-ones) sinning the
πράξεις τυγχάνουσι καὶ τῆς τιμωρίας ἡ εἴσπραξις τῶν
deeds happen-to-be and of-the punishment the exacting of-the
ὀλισθημάτων τὸ ἀνεπίστροφον. Ὅσῳ δὲ ξένη καὶ δεινῶς
slips the unrepentance by-as-much and strange and terribly
ἄτοπος τοῦ καταρραγέντος ἔθνους ἡ ἔφοδος, τοσούτῳ τῶν
absurd of-the having-burst-down nation the attack by-so-much of-the
πλημμεληθέντων ἡ ὑπερβολὴ διελέγχεται. Ὅσον δὲ πάλιν
offenses the excess is-proven as-much and again
ἀφανὲς, ἄσημον καὶ μηδὲ μέχρι τῆς καθ' ἡμῶν ἐπελεύσεως
obscure insignificant and not-even until the against us invasion
γινωσκόμενον, τοσοῦτον ἡμῖν ὁ τῆς αἰσχύνης ὄγκος
known so-much to-us the of-the shame weight
ἐπιγράφεται καὶ τῶν ὀνειδισμάτων ὁ θρίαμβος αἴρεται,
is-inscribed and of-the reproaches the triumph is-raised
καὶ πικρότερον αἱ μάστιγες τὴν ὀδύνην ἐναποτίθενται.
and more-bitterly the scourges the pain deposit

Ἡ γάρ τοι τῶν ἀσθενεστέρων τε καὶ παρεωραμένων
the for surely of-the weaker both and overlooked
κατὰ τῶν ἐπιφανείᾳ λαμπρυνομένων καὶ ἰσχὺν
over the(-ones) with-renown made-splendid and in-strength
ἀμάχων ἐπικράτεια ἀνυπέρβλητον παρίστησι τὴν πληγὴν,
invincible mastery unsurpassable presents the blow
ἀπαραμύθητον εἰσάγει τὴν συμφορὰν, ἀνεξάλειπτον συνέχει
inconsolable brings-in the calamity indelible holds-together
τῶν δυστυχημάτων τὴν μνήμην. Οὕτω ταῖς ἀνομίαις
of-the misfortunes the memory thus by-the transgressions
ἡμῶν ἐμαστίχθημεν καὶ τοῖς πάθεσιν ὠδυνήθημεν καὶ τοῖς
our we-were-scourged and by-the passions we-were-pained and by-the
παραπτώμασιν ἐταπεινώθημεν καὶ τοῖς κακοῖς ἐκαρώθημεν,
offenses we-were-humbled and by-the evils we-were-stupefied
μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ γενόμενοι· οἷς
(a)-mockery and derision to-the(-ones) around having-become to-whom
γὰρ οὐδὲ Ῥωμαίων φήμη μόνη φορητή ποτε κατεφαίνετο,
for not-even of-Romans (the)-report alone bearable ever appeared
οὗτοι κατ᾽ αὐτῆς αὐτῶν τῆς ἐξουσίας ὅπλα ἤροντο, καὶ
these against itself their the authority arms lifted and
τὰς χεῖρας ἀνεκρότησαν ἐν ἐλπίδι τοῦ λαβεῖν τὴν βασιλίδα
the hands clapped in hope of-the to-take the queen
πόλιν ὡς νοσσιὰν φρυαξάμενοι. Τά τε γὰρ πέριξ αὐτῆς
city as (a)-nest snorting the(-parts) both for around it
ἐληίσαντο καὶ τὰ πρὸ τοῦ ἄστεος ἐλυμήναντο, καὶ
they-plundered and the(-parts) before the town they-ravaged and
τοὺς συλληφθέντας ὠμῶς ἀπεχρήσαντο καὶ σὺν ἀδείᾳ
the(-ones) captured savagely they-destroyed and with fearlessness
πάσῃ ταύτῃ περιεχύθησαν, ἐπὶ τοσοῦτον ὑπὸ τῆς ἡμετέρας
all it they-poured-around to so-much by the our
εὐπραγίας ἐπαρθέντες καὶ ὑψωθέντες ὥστε μηδ᾽ ὀρθοῖς
prosperity lifted-up and exalted so-that not-even with-straight

εἰς αὐτοὺς καὶ ἀπτοήτοις ἐνατενίζειν τοῖς ὀφθαλμοῖς τοὺς
at them and undaunted to-gaze with-the eyes the
ἐνοικοῦντας δύνασθαι, ἀλλ᾽ ἐξ ὧν εἰκὸς ἦν μᾶλλον
inhabitants to-be-able but from what likely (it)-was rather
αὐτοὺς ἀνδρικώτερον τοῖς πολεμίοις συμπλέκεσθαι, τούτοις
them more-manfully with-the enemies to-grapple by-these
ἐξενευροῦντο καὶ κατέπιπτον· τὴν γὰρ εἰς τοὺς ὁμοφύλους
they-were-unnerved and fell-down the for toward the kinsmen
τῶν βαρβάρων μιαιφονίαν δέον δικαίαν ποιεῖσθαι
of-the barbarians bloodthirstiness being-needful just to-make
ὀργὴν καὶ μετ᾽ εὐλόγων ἐλπίδων τὴν ἴσην τιμωρίαν
wrath and with reasonable hopes the equal punishment
ἐπάγεσθαι ἀπαιτεῖν· οἱ δὲ κατεπτηχότες καὶ ἐκπεπληγμένοι
to-bring to-demand they but cowering and terrified
παρελέλυντο, τὰ πάθη τῶν ἑαλωκότων οἰκείαν ἅλωσιν
were-paralyzed the sufferings of-the captured (their)-own capture
οἱ σεσωσμένοι καὶ παρ᾽ ὧν ἐκδίκησις τοῖς ἠτυχηκόσιν
the(-ones) saved and from whom vengeance for-the unfortunate
ὠφείλετο φανταζόμενοι. Ἐφ᾽ ἅπαξ γὰρ τοῦ αἰφνιδίου
was-owed imagining at once for of-the sudden
δείματος τοῖς τῆς καρδίας κόλποις ἐναποσκήψαντος καὶ
terror into-the of-the heart recesses having-struck and
εἰς τραῦμα τὸ πάθος κοιλάναντος, ὥσπερ ἀπὸ πηγῆς
into (a)-wound the suffering having-hollowed as from (a)-spring
τινος καὶ ἀρχῆς τοῦ περικαρδίου μώλωπος τὸ τῆς δειλίας
some and source of-the around-the-heart bruise the of-the cowardice
ῥεῦμα καὶ εἰς ὅλον τὸ σῶμα μετωχετεύετο καὶ παρειμένα
stream also into whole the body was-channeled and slack
πάντας φέροντας τὰ μέλη τοὺς ἐφ᾽ οἷς ἡ τοῦ πολέμου
all bearing the limbs the(-ones) on whom the of-the war
κρίσις ἀνέκειτο διεδείκνυεν. Οὕτω δὴ τοῦ βαρβάρου φύλου
decision lay it-showed thus indeed of-the barbarian tribe

γεγενήμεθα παίγνιον, καὶ τὴν ἀπειλὴν αὐτῶν ἀνυπόστατον
we-have-become (a)-plaything and the threat their irresistible
ἡγησάμεθα καὶ τὴν βουλὴν ἀκαταίσχυντον καὶ τὴν
we-thought and the counsel unshamed and the
προσβολὴν ἀπροσμάχητον. Ἔνθα γὰρ ὀργὴ θεοῦ, ἐκεῖ
assault unassailable where for (is)-wrath of-god there
καὶ τὸ ἀτυχεῖν, καὶ ἡνίκα αὐτὸς ἀποστρέφεται, ἐκ τοῦ
also the to-be-unfortunate and when he-himself turns-away from the
ῥᾴστου καὶ τὸ καταστραφῆναι παρεισδύεται, καὶ οὓς αὐτὸς
easiest also the to-be-overthrown slips-in and whom he-himself
μαστίζεσθαι παραδίδωσι, τὸ λαφυραγωγεῖν κατὰ χεῖρας
to-be-scourged gives-over the to-plunder at hand
τοῖς ἐπιχειροῦσι παραγίνεται, καὶ «εἰ μὴ κύριος φυλάσσει
for-the attackers comes and if not (the)-lord guards
πόλιν, εἰς μάτην ἀγρυπνοῦσι οἱ φυλάσσοντες.»
(a)-city in vain keep-watch the(-ones) guarding
Ἔθνος ἀφανὲς, ἔθνος ἀναρίθμητον, ἔθνος ἐν
(a)-nation obscure (a)-nation unnumbered (a)-nation among
ἀνδραπόδοις ταττόμενον, ἄγνωστον μὲν, ἀλλ᾽ ἀπὸ τῆς
slaves ranked unknown indeed but from the
καθ᾽ ἡμῶν στρατείας ὄνομα λαβὸν, καὶ ἄσημον μὲν,
against us campaign (a)-name having-taken and insignificant indeed
ἀλλ᾽ ἐπίσημον γεγονὸς, ταπεινὸν καὶ ἠπορημένον, ἀλλ᾽ εἰς
but notable having-become lowly and destitute but to
ὕψωμα λαμπρὸν καὶ πλοῦτον ἄπλετον ἀναβεβηκὸς, ἔθνος
height splendid and wealth boundless having-gone-up (a)-nation
πόρρω που τῆς ἡμῶν ἀπῳκισμένον, βαρβαρικὸν,
far somewhere from-the our settled-away barbarian
νομαδικὸν, τὸ θράσος ἔχον εἰς ὅπλα, ἀφύλακτον,
nomadic the boldness having for arms unguarded
ἀνεξέλεγκτον, ἀστρατήγητον, οὕτως ἀθρόον, οὕτως ἐν
unchecked without-general so massed so in

ῥιπῇ ὀφθαλμοῦ ὡς κῦμα θαλάσσης ἐξεχύθη τοῖς
(the)-twinkling of-(an)-eye as (a)-wave of-(the)-sea it-poured on-the
ὁρίοις ἡμῶν, καὶ ὡς μονιὸς ἄγριος χόρτον ἢ καλάμην ἢ
borders our and as (a)-boar wild grass or stubble or
λήιον κατενεμήσατο τοὺς ἐνοικοῦντας ἐν τῇ γῇ· ὦ τῆς
crop it-devoured the(-ones) dwelling in the land O the
συμπεσούσης ἡμῖν θεηλάτου ποινῆς· μὴ φειδόμενον ἀπὸ
having-fallen-upon us god-sent penalty not sparing from
ἀνθρώπου ἕως κτήνους, οὐ θήλεων ἀσθένειαν εὐλαβούμενον,
man to beast not of-females (the)-weakness respecting
οὐ νηπίων ἀπαλότητα δυσωπούμενον, οὐ πρεσβυτέρων
not of-infants (the)-tenderness ashamed-before not of-old-men
πολιὰν καταιδούμενον, ὑπ᾽ οὐδενὸς τῶν ὅσα
(the)-gray-hair revering by nothing of-the(-things) such-as
δυσωπεῖν εἴωθεν ἄνθρωπον κἂν εἰς θηρίων ἐκδράμῃ
to-shame is-wont (a)-man even-if into of-beasts he-run-out
φύσιν μαλασσόμενον, ἀλλὰ διὰ πάσης ἡλικίας καὶ
(the)-nature softened but through every age and
φύσεως τὸ ξίφος ὠθεῖν θρασυνόμενον. Ἦν ἰδεῖν
nature the sword to-thrust emboldened (it)-was(-possible) to-see
παρ᾽ αὐτῶν νήπια μαζῶν καὶ γάλακτος ἅμα καὶ ζωῆς
by them infants from-breasts and milk together and from-life
αὐτῆς ἀποσπώμενα, καὶ τάφον αὐτοῖς αὐτοσχέδιον, οἴμοι,
itself torn-away and (a)-tomb for-them improvised woe-is-me
τὰς πέτρας αἷς προσηράσσοντο, μητέρας οἰκτρῶς
the rocks against-which they-were-dashed mothers pitiably
ὀλολυζούσας καὶ ἐπισφαττομένας ἔτι σπαρασσομένοις καὶ
wailing and slaughtered-upon still convulsing and
ψυχορραγοῦσι τοῖς βρέφεσι, ἄκουσμα ἐλεεινὸν καὶ θέαμα
gasping-out-their-life the babes (a)-hearing pitiable and (a)-sight
ἐλεεινότερον καὶ πολὺ κρεῖττον σιγᾶσθαι ἢ λέγεσθαι, καὶ
more-pitiable and much better to-be-kept-silent than to-be-told and

τῶν δεδρακότων μᾶλλον ἢ τῶν πεπονθότων ἄξιον.
of-the(-ones) having-done(-it) rather than of-the(-ones) having-suffered worthy
Οὐδὲ γὰρ οὐδὲ μέχρι τῆς ἀνθρωπίνης φύσεως ἡ ἀγριότης
not for not-even to the human nature the savagery
προέβαινεν, ἀλλὰ διὰ πάντων ἀλόγων ζῴων, βοῶν καὶ
advanced but through all irrational animals oxen and
ἵππων καὶ ὀρνίθων καὶ τῶν ἄλλων οἷς ἐνέπιπτον, ἡ
horses and birds and the other(-creatures) on-which they-fell the
ὠμότης διήλαυνεν. Ἔκειτο βοῦς καὶ παρ' αὐτὸν ἄνθρωπος,
cruelty drove lay (an)-ox and beside it (a)-man
καὶ παῖς καὶ ἵππος τάφον εἶχον ὁμόσκηνον, καὶ γυναῖκες
and (a)-boy and (a)-horse (a)-tomb had sharing-a-tent and women
καὶ ὄρνιθες τοῖς ἀλλήλων συνεφύροντο αἵμασι. Μεστὰ δὲ
and birds with-the of-one-another were-mingled bloods full and
νεκρῶν σωμάτων ἐτύγχανεν ἅπαντα. Ποταμοῖς τὸ ῥεῖθρον
of-dead bodies happened-to-be all(-things) for-rivers the stream
εἰς αἷμα μετεσκευάζετο, κρήνας καὶ δεξαμενὰς τὰς μὲν
into blood was-changed fountains and cisterns some indeed
οὐκ ἦν ἔτι διακρίνειν ἐξομαλισθέντων τῶν
not (it)-was(-possible) any-longer to-make-out leveled the
κοιλωμάτων τοῖς σώμασι, ταῖς δὲ παντελῶς ἀμυδρὰ τοῦ
hollows with-the bodies in-others but wholly faint of-the
προτέρου σχήματος ἴχνη ἐφαίνετο τῶν παρακειμένων
former shape traces appeared the(-bodies) lying-beside
αὐτοῖς ἀναπληρούντων τὰ λείποντα. Τὰς ἀρούρας
them filling-up the(-parts) lacking the plowlands
νεκρὰ κατέσηπε σώματα, τὰς ὁδοὺς ἐστενοχώρει, τὰ
dead rotted bodies the roads it-choked the
ἄλση τούτοις μᾶλλον ἢ τοῖς θάμνοις καὶ ταῖς ἐρημίαις
groves with-these rather than with-the thickets and the wildernesses
ἐθηριοῦτο καὶ ἐξηγρίωτο, τὰ σπήλαια ἐπεπλήρωτο, ὄρη
became-beastly and grew-wild the caves were-filled mountains

καὶ λόφοι καὶ χαράδραι καὶ φάραγγες οὐδὲν [τῶν] ἐν
and hills and ravines and gorges in-nothing from-the in
ταῖς πόλεσι πολυανδρίων διέφερον.
the cities cemeteries differed
Οὕτω τοῦ πάθους ἡ θραῦσις ἐξήπλωτο, καὶ ὁ τοῦ
thus of-the suffering the ruin had-spread-out and the of-the
πολέμου λοιμὸς τοῖς τῶν ἁμαρτημάτων πτεροῖς ἐποχούμενος
war plague on-the of-the sins wings riding
πανταχοῦ περιίπτατο τὸ προστυχὸν λυμαινόμενος.
everywhere flew-around the(-thing) met ravaging
Οὐδεὶς ἂν δύναιτο τὴν ἐπιστᾶσαν ἡμῖν τότε τῶν κακῶν
no-one — could the having-come-upon us then of-the evils
Ἰλιάδα ἐφικέσθαι τῷ λόγῳ. Καὶ τίς ταῦτα συνορῶν οὐ
Iliad to-reach with-the word and who these(-things) beholding not
τὸν τρυγίαν τοῦ ποτηρίου, ὃν ὁ θυμὸς ἐκέρασε κυρίου
the dregs of-the cup which the anger mixed of-(the)-lord
τοῖς ἡμῶν ὑπερζέσας πλημμελήμασιν, οὐκ ἐφ' ἡμᾶς
by-the our having-boiled-over offenses — upon us
ἐκχυθῆναι ἂν ὁμολογήσειε; τίς ταῦτα μελετῶν καὶ
to-have-been-poured — would-confess who these(-things) pondering and
συλλογιζόμενος, οὐ πενθῶν καὶ σκυθρωπάζων δι' ὅλου
reckoning not mourning and scowling through whole
τοῦ βίου καὶ πρὸς δυσμὰς αὐτὰς ἀφικόμενος πορεύεται,
the life also to (its)-setting itself having-arrived goes
ὅπως ἅπαντα τότε συνεκέχυτο καὶ πῶς ἡ πόλις μικροῦ
how all(-things) then had-been-confounded and how the city a-little
δέω φάναι δοριάλωτος ἐγεγένητο; ἐν ᾧ γὰρ ῥᾴδιον μὲν
I-lack to-say spear-won had-become in which for easy indeed
τὸ ἁλῶναι, ἄπορον δὲ τοῖς ἐνοικοῦσι τὸ ὑπερασπίσαι, ἐν
the to-be-taken impossible but for-the inhabitants the to-defend in
ἐξουσίᾳ δηλονότι τῶν ἀντιπάλων τὸ παθεῖν ταύτην ἢ μὴ
(the)-power evidently of-the opponents the to-suffer it or not

παθεῖν ἔκειτο, ἐν ᾧ δὲ ἡ τῆς πόλεως σωτηρία τοῖς
to-suffer lay in which and the of-the city salvation on-the
τῶν πολεμίων ἤρτητο δακτύλοις, καὶ τῇ τούτων εὐμενείᾳ
of-the enemies hung fingers and by-the their goodwill
ἡ ταύτης διεμετρεῖτο στάσις, παρὰ βραχύ φημι διαφέρειν,
the its was-measured standing by little I-say to-differ
μᾶλλον δὲ πολὺ χαλεπώτερον εἶναι τὸ μήπω πεσεῖν τὴν
rather but much harder to-be the not-yet to-fall the
πόλιν τοῦ πάλαι πεσεῖν· τὸ μὲν γὰρ ἴσως τῷ τάχει
city than-the long-ago to-fall the(-one) indeed for perhaps by-the speed
τοῦ πάθους ἄδηλον ἂν παρεῖχε τῆς μὴ παραυτίκα
of-the suffering unclear — would-have-made of-the not at-once
ἁλώσεως τὴν αἰτίαν, τὸ δὲ τῷ μήκει τοῦ χρόνου
capture the cause the(-other) but by-the length of-the time
καὶ τὴν τῶν ἀντιπάλων ἐπαίρειν φιλανθρωπίαν ὡς τῇ
also the of-the opponents to-exalt humanity as by-the
ἐκείνων οὔπω συγκατενεχθείσης εὐσπλαγχνίᾳ καὶ τῷ πάθει
their not-yet having-been-brought-down mercy and to-the suffering
συνάπτον τὴν ἀπὸ τῆς συμπαθείας ἀδοξίαν ἀλγεινοτέραν
joining the from the pity disgrace more-painful
ποιεῖται τὴν συναίσθησιν τῆς αἰχμαλωσίας. Ἆρα μέμνησθε
makes the awareness of-the captivity do you-remember
τοῦ κλόνου καὶ τῶν δακρύων καὶ τῶν ὀλολυγμῶν εἰς ἃ
the confusion and the tears and the wailings into which
τότε ἡ πόλις πᾶσα σὺν ἀπογνώσει τελευταίᾳ κατεφέρετο;
then the city all with despair final was-borne
Ἴστε τὴν νύκτα ἐκείνην τὴν ζοφώδη καὶ φοβερὰν, ὅτε
you-know the night that the gloomy and fearful when
συμπάντων ἡμῶν ὁ τοῦ βίου κύκλος τῷ τοῦ ἡλίου κύκλῳ
of-all of-us the of-the life circle with-the of-the sun circle
συγκατεδύετο, καὶ τὸ τῆς ζωῆς ἡμῶν φέγγος εἰς τὸ βαθὺ
set-together and the of-the life our light into the deep

τοῦ θανάτου σκότος ἐβυθίζετο; Ἴστε τὴν ὥραν ἐκείνην τὴν
of-the death darkness was-plunged you-know the hour that the
ἀφόρητον καὶ πικρὰν, ὅτε κατέπλεον ὑμῖν αἱ βαρβαρικαὶ
unbearable and bitter when sailed-down on-you the barbarian
νῆες ὠμόν τι καὶ ἄγριον καὶ φονικὸν ἀποπνέουσαι; ὅτε
ships savage something and wild and murderous breathing when
ἡ θάλασσα γαληνιῶσα καὶ ἀτρεμίζουσα τὰ νῶτα ἐξήπλωτο,
the sea calm and motionless the back had-spread-out
αὐταῖς μὲν τὸν πλοῦν ἡδὺν καὶ καταθύμιον παρεχομένη, τὰ
for-them indeed the voyage sweet and to-their-mind providing the
δὲ τοῦ πολέμου κύματα καθ' ἡμῶν ἐπεκύμαινεν ἀγριαίνουσα;
but of-the war waves against us it-swelled-up growing-savage
ὅτε τὴν πόλιν παρεπορεύοντο ἀνατείνοντας τὰ ξίφη
when the city they-passed-by stretching-up the swords
φέρουσαι καὶ δεικνύουσαι τοὺς ἐμπλέοντας καὶ θάνατον
carrying and showing the(-men) sailing-in(-them) and death
ὥσπερ τὸν διὰ ξίφους ἀπειλοῦσαι κατὰ τῆς πόλεως; ὅτε
as-it-were the by sword threatening against the city when
πᾶσα μὲν ἐλπὶς ἀνθρωπίνη ἐξ ἀνθρώπων ἐρρύη, τῇ
all indeed hope human from men flowed-away to-the
δὲ πρὸς τὸ θεῖον μόνῃ καταφυγῇ ἡ πόλις ἐπεσάλευεν; ὅτε
but toward the divine only refuge the city rode-at-anchor when
σεισμὸς καὶ γνόφος κατεῖχε τοὺς λογισμοὺς, καὶ τὰ ὦτα
trembling and darkness held the thoughts and the ears
πρὸς οὐδὲν ἠνέῳκτο ἕτερον ἢ ὡς οἱ βάρβαροι τειχῶν
to nothing were-opened other than that the barbarians walls
εἰσήλασαν ἐντὸς καὶ τοῖς ἐχθροῖς ἡ πόλις κεχείρωται;
had-driven within and by-the enemies the city has-been-subdued
τὸ γὰρ τοῦ συνενεχθέντος ἀπροσδόκητον καὶ τῆς ἐφόδου
the for of-the having-befallen unexpectedness and of-the attack
τὸ ἀνέλπιστον τοιαῦτα φαντάζεσθαι καὶ ἀκούειν ὥσπερ
the unhoped-for such(-things) to-imagine and to-hear as-it-were

ἀνέπειθεν ἅπαντας, εἰωθὸς μάλιστα τὸ πάθημα τοῦτο τοῖς
persuaded all being-wont especially the experience this to-the
ἀνθρώποις καὶ ἄλλως ἐπιφοιτᾶν· ὃ μὲν γὰρ ἐκτόπως
men also otherwise to-visit what indeed for exceedingly
δεδίασιν, ἀκρίτῳ δόξῃ καὶ μὴ παρὸν παρεστάναι
they-fear by-undiscerning opinion also not present to-be-present
νομίζουσι, οὗ δ' ὑπόνοιαν οὐ προέλαβον αὐτεξουσίῳ
they-think of-which and suspicion not they-had-before by-free
γνώμῃ καὶ φθάσαντος πόρρω πέμπουσιν. Ἦν ὄντως τότε
choice also having-come far they-send(-off) there-was truly then
πένθος καὶ θρῆνος καὶ οὐαί. Τότε τῶν ἰδίων ἁμαρτημάτων
mourning and lament and woe then of-the own sins
ἀδέκαστος κριτὴς καθίστατο ἕκαστος, οὐ συκοφάντημα
incorruptible judge was-set each not (the)-slander
κατηγόρων εἰς φυγὴν τῆς κατηγορίας λοιδορούμενος, οὐ
of-accusers for escape of-the accusation reviling not
τῶν ἔξωθεν ἐλέγχων δεόμενος, οὐ μαρτύρων κλῆσιν
of-the outside proofs needing not of-witnesses (the)-summoning
προσποιούμενος εἰς τὸν κατὰ τοῦ πονηρεύματος θρίαμβον,
pretending for the against the wickedness triumph
ἀλλὰ τὴν ὀργὴν κυρίου κατ' ὀφθαλμοὺς τιθέμενος
but the wrath of-(the)-lord before (his)-eyes setting
ἕκαστος τὸ ἴδιον πταῖσμα ἐπεγίνωσκεν, καὶ ὑπὲρ ὧν τῆς
each the own fault recognized and for what of-the
ἐντολῆς ἐκτὸς ἀφρόνως ἐπολιτεύσατο, ἐντὸς γενέσθαι τῆς
commandment outside foolishly he-lived within to-be of-the
ἀπειλῆς ἐλογίζετο καὶ τῇ τῶν λυπούντων πείρᾳ τῶν
threat he-reckoned and by-the of-the grieving(-things) experience from-the
ἡδονῶν ἀποσπώμενος εἰς σώφρονα βίον μετεκοσμεῖτο
pleasures torn-away into (a)-temperate life was-rearranged
καὶ μετερρυθμίζετο, καὶ ἀνθομολογεῖσθαι κυρίῳ τοῖς
and was-reshaped and to-confess to-(the)-lord with-the

στεναγμοῖς, ἀνθομολογεῖσθαι τοῖς δάκρυσι, ταῖς
groans to-confess with-the tears with-the
προσευχαῖς, ταῖς δεήσεσιν. Οἶδε γὰρ, οἶδε κοινὴ
prayers with-the supplications knows(-how) for knows(-how) (a)-common
συμφορὰ καὶ προσδοκωμένη μετανάστασις ἐπιγνώμονας
calamity and (an)-expected removal acknowledgers
τῶν ἐλαττωμάτων ποιεῖν καὶ ἑαυτῶν γίνεσθαι καὶ βελτίους
of-the shortcomings to-make and of-themselves to-become and better
ταῖς πράξεσι ἀπεργάζεσθαι. Ἀλλ᾽ ὅτε ταῦτα παρ᾽ ἡμῶν
in-the deeds to-render but when these(-things) by us
κατεβάλλετο, ὅτε τῶν ἡμαρτημένων ἑαυτοῖς τὸν λογισμὸν
were-laid-down when of-the sins-committed for-ourselves the reasoning
ἱστῶμεν διαιτητὴν ἀπαρέγκλιτον καὶ τὴν ἐλαττουμένην ὡς
we-set-up (as)-arbiter unswerving and the being-worsted(-side) as
νικῶσαν ἐφ᾽ ἑαυτοὺς ἐψηφοφοροῦμεν οἱ διωκόμενοι,
winning against ourselves we-voted the(-ones) pursued
ὅτε τὸ θεῖον λιταῖς καὶ ὕμνοις ἐξεκαλούμεθα, ὅτε
when the divine with-supplications and hymns we-called-forth when
συντριμμῷ καρδίας τὴν μετάνοιαν προσεφέρομεν, ὅτε χεῖρας
with-contrition of-heart the repentance we-offered when hands
πρὸς θεὸν δι᾽ ὅλης νυκτὸς ἐξαπλοῦντες τῆς αὐτόθεν
toward god through whole (the)-night spreading-out the from-there
φιλανθρωπίας ἐδεόμεθα, πάσας ἡμῶν τὰς ἐλπίδας πρὸς
humanity we-begged all our the hopes on
αὐτὸν ἀναρτήσαντες, τότε τῆς συμφορᾶς ἐλυτρούμεθα,
him having-hung then from-the calamity we-were-redeemed
τότε τῶν περιστοιχησάντων ἡμᾶς κακῶν ἀπαλλαγὴν
then from-the having-surrounded us evils deliverance
ἐλαμβάνομεν, τότε τὴν ἀπειλὴν θραυομένην ἐβλέπομεν, καὶ
we-received then the threat being-broken we-saw and
ἡ ὀργὴ κυρίου ἀναρπαζομένη ἀφ᾽ ἡμῶν κατεφαίνετο.
the wrath of-(the)-lord snatched-away from us appeared

Τοὺς γὰρ ἐχθροὺς ἡμῶν ὑποχωροῦντας ἐθεώμεθα καὶ
the for enemies our withdrawing we-beheld and
τὴν ἀπειλουμένην πόλιν εἰς ἁρπαγὴν ἐλευθερουμένην
the threatened city to plunder freed
τῆς προνομῆς τότε ποτὲ, ἐπειδὰν ἁπάσης βοηθείας
from-the pillage then at-last when of-all help
ἀπογυμνωθέντες καὶ τῆς ἐξ ἀνθρώπων συμμαχίας
stripped and of-the from men alliance
ἐξηπορημένοι ἐπὶ ταῖς παρὰ τῆς μητρὸς τοῦ λόγου
bereft on the from the mother of-the word
καὶ θεοῦ ἡμῶν ἐπέχοντες προσδοκίαις ἐψυχαγωγούμεθα,
and god our holding-fast expectations we-took-heart
αὐτὴν εἰς παράκλησιν κινοῦντες τοῦ υἱοῦ, αὐτὴν εἰς
her to supplication moving of-the son her for
ἐξιλασμὸν τῶν ὀλισθημάτων, ταύτης τὴν παρρησίαν εἰς
propitiation of-the slips her the boldness for
σωτηρίαν ἐπιβοώμενοι, ταύτης τὴν σκέπην εἰς τεῖχος τηρεῖν
salvation calling-upon her the shelter for (a)-wall to-keep
ἀπολιόρκητον, αὐτὴν θραῦσαι τὸ θράσος τῶν βαρβάρων
unbesiegeable her to-break the boldness of-the barbarians
καθικετεύοντες, αὐτὴν κατασπάσαι τὸ φρύαγμα, αὐτὴν
beseeching her to-pull-down the insolence her
τοῦ ἀπηλπικότος λαοῦ προασπίσαι, τοῦ οἰκείου ποιμνίου
the having-despaired people to-shield for-the own flock
ὑπερμαχῆσαι, ἧς καὶ τὴν περιβολὴν εἰς ἀναστολὴν μὲν
to-fight-for whose also the robe for repulse indeed
τῶν πολιορκούντων, φυλακὴν δὲ τῶν πολιορκουμένων σὺν
of-the besiegers guard and of-the besieged with
ἐμοὶ πᾶσα ἡ πόλις ἐπιφερόμενοι τὰς ἱκεσίας ἑκουσιαζόμεθα,
me all the city carrying(-it) the supplications we-offered-freely
τὴν λιτανείαν ἐποιούμεθα· ἐφ' οἷς ἀφάτῳ φιλανθρωπίᾳ
the litany we-made at which with-unspeakable love-of-mankind

μητρικῆς παρρησιασαμένης ἐντεύξεως καὶ τὸ θεῖον ἐπεκλίθη
(the)-motherly having-spoken-boldly intercession also the divine was-inclined
καὶ ὁ θυμὸς ἀπεστράφη, καὶ ἠλέησε κύριος τὴν
and the anger was-turned-away and had-mercy (the)-lord on-the
κληρονομίαν αὐτοῦ. Ὄντως μητρὸς θεοῦ περιβολὴ ἡ
inheritance his truly of-(the)-mother of-god (the)-robe the
πάνσεπτος αὕτη στολή· αὕτη περιεκύκλου τὰ τείχη καὶ
all-venerable this (is-the)-garment this went-around the walls and
τὰ τῶν πολεμίων ἀρρήτῳ λόγῳ ἐδείκνυτο νῶτα. Ἡ πόλις
the of-the enemies by-unspeakable reason were-shown backs the city
ταύτην περιεβάλλετο καὶ τὸ χαράκωμα τῶν πολεμίων ὡς
it put-around(-itself) and the palisade of-the enemies as
ἐκ συνθήματος διελύετο, αὕτη ταύτην ἐστολίζετο, καὶ τῆς
by (a)-signal was-broken-up it with-it was-robed and of-the
ἐλπίδος αὐτῶν, ἐφ᾽ ἧς ἐπωχοῦντο, ἐγυμνοῦτο τὸ πολέμιον·
hope their on which they-rode was-stripped the enemy
ἅμα γὰρ τὸ τεῖχος ἡ παρθενικὴ στολὴ περιελήλυθε, καὶ
at-once for the wall the virginal garment went-around and
τῆς πολιορκίας οἱ βάρβαροι ἀπειπόντες ἀνεσκευάσαντο
of-the siege the barbarians having-given-up packed-up
καὶ τῆς προσδοκωμένης ἁλώσεως ἐλυτρώθημεν καὶ τῆς
and from-the expected capture we-were-redeemed and of-the
ἀδοκήτου σωτηρίας ἠξιώμεθα. Οὐ γὰρ ἐπέβλεψε κύριος
unlooked-for salvation we-were-deemed-worthy not for looked (the)-lord
ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, ἀλλ᾽ ἐπὶ τὴν μετάνοιαν, οὐδὲ
on the sins our but on the repentance nor
ἐμνήσθη τῶν ἀνομιῶν ἡμῶν, ἀλλ᾽ ἐπὶ τὸν συντριμμὸν
he-remembered the transgressions our but on the contrition
ἐπείδε τῶν καρδιῶν ἡμῶν καὶ ἔκλινε τὸ οὖς αὐτοῦ τῇ
he-looked of-the hearts our and inclined the ear his to-the
ἐξομολογήσει τῶν χειλέων ἡμῶν. Ἀπροσδόκητος ἐπέστη
confession of-the lips our unexpected came

ἡ ἔφοδος τῶν ἐχθρῶν, ἀνέλπιστος ἐδείχθη ἡ ἀναχώρησις
the attack of-the enemies unhoped-for was-shown the withdrawal
αὐτῶν· ἐξαίσιος ἡ ἀγανάκτησις, ἀλλ᾽ ὑπὲρ λόγον τὸ
their extraordinary the indignation but beyond reason the
τέλος· ἄφατος ἦν αὐτῶν ὁ φόβος, εὐκαταφρόνητοι
end unspeakable was their the fear easily-despised
γεγόνασι τῇ φυγῇ· ὀργὴν εἶχον εἰς τὴν καθ᾽ ἡμῶν
they-became by-the flight wrath they-had toward the against us
ἐπιδρομὴν, συνελαύνουσαν αὐτοὺς φιλανθρωπίαν εὕρομεν
incursion driving them love-of-mankind we-found
θεοῦ τούτων ἀναστέλλουσαν τὴν ὁρμήν. Μὴ οὖν τὴν
of-god their checking the onrush not then the
φιλανθρωπίαν ἀφορμὴν ὀλιγωρίας ποιησώμεθα, μηδὲ τὴν
love-of-mankind (an)-occasion of-neglect let-us-make nor the
εὐσπλαγχνίαν ἐπὶ ῥαθυμίαν παράκλησιν ἡγησώμεθα, μηδὲ
mercy for laziness (an)-encouragement let-us-think nor
τῆς ἀπωλείας πύλην τὴν ἀρχὴν τῆς σωτηρίας ἑαυτοῖς
of-the destruction (the)-gate the beginning of-the salvation for-ourselves
ἀναπετάσωμεν, μηδὲ καταμαλακισθῶμεν τῷ ἐλέει αὐτοῦ,
let-us-open-wide nor let-us-grow-soft by-the mercy his
ἵνα μὴ τὰ ἔσχατα τῶν πρώτων χείρω γένηται, καὶ τὴν
that not the last(-things) than-the first worse become and the
κατὰ Ἰουδαίων ἀρὰν ἑαυτοῖς ἐφελκυσώμεθα.
against (the)-Jews curse on-ourselves we-draw
«Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν».
woe (O)-nation sinful (a)-people full of-sins
«Τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν;» Ἡσαΐου
why still would-you-be-struck adding lawlessness Isaiah
λέγοντος, καὶ «οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε
saying and not it-is(-possible) (a)-poultice to-apply neither
ἔλαιον οὔτε καταδέσμους». Μὴ οὖν τηλικούτων κακῶν
oil nor bandages not then of-so-great evils

ὑπευθύνους ἑαυτοὺς παρασκευάσωμεν, ἀγαπητοὶ, μηδὲ τῶν
liable ourselves let-us-make beloved nor of-the
συνθηκῶν ἐπιλήσμονες γενώμεθα, ἃς θεῷ συνετιθέμεθα,
covenants forgetful let-us-become which with-god we-made
ὅτε τὴν φοβερὰν ἐκείνην ἀπειλὴν κατὰ πρόσωπον ἡμῶν
when the fearful that threat against (the)-face our
στηριζομένην ἐβλέπομεν. Ἴστε γὰρ, ἴστε πάντως ὑπὸ
fixed we-saw you-know for you-know surely by
τῆς οἰκείας ἕκαστος ἀναδιδασκόμενος συνειδήσεως, ὡς
the own each being-taught conscience that
κατ᾽ ἐκεῖνο καιροῦ ὁ μὲν ἄδικόν τι δεδρακὼς
at that (point)-of-time the(-one) indeed unjust something having-done
μηκέτι πράττειν τοῦτο θεῷ συνετίθετο, ὁ δὲ
no-longer to-do this with-god covenanted the(-other) and
πορνείᾳ τὸ σῶμα προδεδωκὼς μίσει τοῦ πάθους τὴν
to-fornication the body having-given-over by-hatred of-the passion the
τῆς σωφροσύνης ὁμολογίαν ἑκουσιαζόμενος ἐπεδείκνυτο,
of-the temperance confession voluntarily displayed
καὶ δὴ καὶ ὁ μέθαις σχολάζων ἔνηφε καὶ νήφειν
and indeed also the(-one) to-drunkenness given was-sober and to-be-sober
ὑπισχνεῖτο τὸ ἐπίλοιπον. Ἄλλος σκληρὰν ἔχων τὴν
promised for-the remainder another hard having the
καρδίαν καὶ ἀφιλάνθρωπον ὅλος τῆς ἐλεημοσύνης ἐγίνετο,
heart and unloving wholly of-the almsgiving became
τὸν παρὰ θεοῦ ἔλεον εἰς ἀρραβῶνα τῆς πρὸς τοὺς
the from god mercy for (a)-pledge of-the toward the
πλησίον ἐλεημοσύνης ἐξαιτούμενος, καὶ ὁ φίλοις μὲν
neighbors almsgiving begging and the(-one) to-friends indeed
βάσκανος, διαπολιτευομένοις δὲ ὄλεθρος, καὶ δούλοις μὲν
envious to-political-rivals and (a)-destruction and to-slaves indeed
δήμιος, ἐλευθέροις δὲ τύραννος, θρήνοις καὶ κοπετοῖς
(an)-executioner to-free(-men) and (a)-tyrant by-laments and beatings-of-the-breast

συνεχόμενος τὸ τῶν ἠθῶν ἐξημέρου καὶ μετεσκεύαζε τὸ
gripped the of-the manners tamed and remade the
ἄγριον. Ταπεινοὺς ἦν ἰδεῖν τοὺς ὑψαύχενας καὶ τοὺς
savage(-part) humble (it)-was(-possible) to-see the proud-necked and the
τρυφητὰς νηστευτὰς, καὶ οἷς γέλως διὰ βίου καὶ
luxurious (as)-fasters and for-whom laughter (was)-through life and
παίγνια, δακρύων ῥείθροις αἱ παρειαὶ κατεπλύνοντο· οἷς
games of-tears with-streams the cheeks were-washed for-whom
δ' ἐπὶ χρημάτων κτῆσιν ἑαυτοὺς ἀφεῖναι διεσπούδαστο,
and on of-money acquisition themselves to-give-over had-been-their-zeal
οὗτοι κοινωνοὺς ἐποιοῦντο τοὺς πένητας, τὸ τῆς φιλαργυρίας
these sharers made the poor the of-the avarice
ἀρρώστημα διαπτύοντες, καὶ συγκεφαλαιωσάμενον εἰπεῖν,
sickness spitting-on and summing-up to-say
τὸ οἰκεῖον πολυπραγμονοῦντες ἐλάττωμα σπουδῇ πολλῇ
the own busily-searching fault with-zeal much
περιῄρουν καὶ ἀπεσκευάζοντο, καὶ τῶν ὀλιγωρίαις καὶ
they-stripped-off and cast-away and of-the(-ones) in-neglects and
ῥᾳστώναις ἐμβεβιωκότων ἕκαστος χειρὶ καὶ ποδὶ καὶ
idleness having-lived each with-hand and foot and
πάσῃ δυνάμει παραγγέλλειν εἰς ἀρετὴν ἐπηγγέλλετο, καὶ
all power to-exhort to virtue promised and
τὸν ἔπειτα χρόνον καθαρῶς καὶ ἀνεπιστρόφως τὴν τρίβον
the after time purely and without-turning-back the path
τέμνειν τῶν διομολογηθέντων ηὔχοντό τε καὶ συνετίθεντο.
to-cut of-the agreements they-vowed both and covenanted
Μηδεὶς οὖν ἡμῶν τούτων ἀμνημονείτω, μηδεὶς τὰς τοιαύτας
no-one then of-us of-these let-be-unmindful no-one the such
ὑποσχέσεις λήθῃ λυμηνάσθω. Ἡ γὰρ τούτων λήθη
promises by-forgetfulness let-ruin the for of-these forgetfulness
ὀργὴν οἶδεν ἀνάπτειν θεοῦ· καὶ γὰρ καὶ ἐπὶ ταύταις ἡμῶν
wrath knows to-kindle of-god and for also upon these our

ταῖς ὁμολογίαις καὶ τὴν μητέρα τοῦ λόγου καὶ θεοῦ
the confessions also the mother of-the word and god
ἡμῶν πρὸς αὐτὸν ἐξεγγυησάμεθα καὶ ἡ αὐτόθεν ἡμᾶς
our to him we-gave-as-surety and the from-there us
φιλανθρωπία τῆς αἰχμαλωσίας ἀφελοῦσα κατελάβετο.
love-of-mankind from-the captivity having-taken-away seized
Ταύταις τὰς καρδίας ἡμῶν περικαθάραντες καὶ ἀρόσαντες
with-these the hearts our having-cleansed and having-plowed
τοὺς ἐπὶ τῇ μετανοίᾳ καρποὺς ἐτρυγήσαμεν. Οὕτως τὰς
the for the repentance fruits we-gathered thus the
γνώμας βελτιωθέντες τῶν δυσχερῶν ἀπηλλάγημεν· ταύτας
minds bettered from-the hardships we-were-freed these
κρηπῖδας τῆς ἔπειτα πολιτείας πηξάμενοι, μὴ ξύλα μηδὲ
(as)-foundations of-the after life having-fixed not wood nor
χόρτον, μὴ καλάμην ὕλην εὔφλεκτον τῆς ἁμαρτίας καὶ
hay not stubble material easily-burned of-the sin and
συνδαπανῶσαν τοὺς πεφορτισμένους ἐπισωρεύωμεν, ἀλλὰ
consuming-together the(-ones) loaded let-us-heap-on but
χρυσὸν καὶ ἄργυρον τὰς εἰλικρινεῖς καὶ καθαρωτάτας
gold and silver the sincere and purest
τῶν πράξεων, αἷς ἰὸς πονηρίας οὐκ ἐνέσπαρται,
of-the deeds in-which (the)-rust of-wickedness not is-sown
ἐποικοδομήσωμεν, ἵνα ἡμῖν ἔσοιτο τεῖχος ἄρρηκτον εἰς
let-us-build-on that for-us may-be (a)-wall unbreakable for
καταφυγὴν καὶ ἱερὸν ἄσυλον ἐν ταῖς τῶν πειρασμῶν
refuge and (a)-shrine inviolable in the of-the temptations
ἐπαναστάσεσι· μηδὲ ἐκκλίνωμεν εἰς τὰ ὀπίσω, ἵνα μὴ
uprisings nor let-us-turn-aside to the(-things) behind that not
κατακριθῶμεν τὸ μὴ εὔθετοι φανῆναι ἐν τῇ βασιλείᾳ τῶν
we-be-condemned the not fit to-appear in the kingdom of-the

οὐρανῶν, ἵνα μὴ τὰ παρελθόντα δυσχερῆ ἐπακολουθοῦντα
heavens that not the past hardships following
καὶ συμπαραμένοντα δείξωμεν τοῖς ἔργοις ἡμῶν.
and remaining-with(-us) we-show by-the works our
Ἐπιστραφήτω ἕκαστος ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν
let-turn each from the works his the
πονηρῶν ἐξ ὅλης τῆς καρδίας αὐτοῦ, ἐπισταθμώμενος
wicked from whole the heart his weighing
καὶ διφρευόμενος ἑαυτὸν, τί τῶν εἰργασμένων αὐτῷ
and examining himself what of-the(-things) done by-him
λυπεῖν οὕτως οἶδε θεὸν ὡς τοσαύτην ἐπισπᾶσθαι τὴν
to-grieve so knows god as so-great to-draw-down the
ὀργὴν, τί τοσαύτην ἔχει τῆς μοχθηρίας τὴν ὑπερβολὴν ὡς
wrath what so-great has of-the wickedness the excess as
τηλικαύτην κινεῖν ἀπειλὴν, ἐπὶ τίσι τῶν πράξεων ἀνήφθη
so-great to-move (a)-threat on what of-the deeds was-kindled
ἐφ' ἡμᾶς ὁ θυμὸς αὐτοῦ, καὶ ποῖαι τῆς φιλανθρωπίας
against us the anger his and what-sort of-the love-of-mankind
αὐτοῦ τὴν νεφέλην ἡμῖν ἐπισκιάσαι συγκατειργάσαντο,
his the cloud from-us to-overshadow worked-together
πόθεν ἐπηνέχθη ἡ ποινὴ καὶ πῶς ἀνεστάλη ἡ πληγὴ, πόθεν
whence was-brought the penalty and how was-checked the blow whence
ἐτραυματίσθημεν καὶ τίσι μοτωθέντες ἰατρεύθημεν. Ἂν
we-were-wounded and with-what having-been-bandaged we-were-healed if
γὰρ ταῦτα ζητῶμεν καὶ οὕτω πολυπραγμονῶμεν ἑαυτοὺς
for these(-things) we-seek and thus we-search-out ourselves
καὶ μελέτην ταῦτα ποιώμεθα, οἶδα ὅτι ἐπὶ πλέον τὸν
and (a)-study these(-things) we-make I-know that for more the
ἔλεον αὐτοῦ ἐπιδαψιλεύσοιτο κύριος. «Ἐγγὺς γὰρ πᾶσι
mercy his would-lavish (the)-lord near for (he-is)-to-all
τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, καὶ θέλημα
the(-ones) calling-upon him in truth and (the)-will

τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως
of-the(-ones) fearing him he-will-do and the prayer
αὐτῶν εἰσακούσεται καὶ σώσει αὐτούς», καὶ ὑπερασπιστής
their he-will-hear and will-save them and defender
ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν. Ἐὰν δὲ
he-is of-all the(-ones) hoping on him if but
τοῖς ἔμπροσθεν ἡμῶν ἁμαρτήμασι, ὃ μὴ γένοιτο,
to-the before our sins which not may-it-happen
προστηκώμεθα, μηδὲ γὰρ μηδ᾽ εἴη τις ἐν ὑμῖν
we-are-attached not for not-even may-there-be anyone among you
οὕτως ἀνάλγητος καὶ ἀδιόρθωτος ὡς ἀλογῆσαι τοσαύτης
so unfeeling and incorrigible as to-disregard so-great
καὶ τηλικαύτης θεηλάτου ἀγανακτήσεως, ἂν οὖν τούτοις
and so-vast god-sent indignation if then to-these
αὐτοῦ ἐμμολυνώμεθα πάθεσι καὶ τῷ βορβόρῳ τῶν ἡδονῶν
there we-are-defiled passions and in-the mire of-the pleasures
ἰλυσπώμεθα, καὶ μὴ τῇ ἐπιμονῇ τῆς μετανοίας τὰ
we-wallow and not by-the persistence of-the repentance the(-things)
φθάσαντα ἐξιλασώμεθα, μηδὲ φυλακὴν τοῦ μέλλοντος βίου
past we-propitiate nor (a)-guard of-the future life
τῶν λυπηρῶν τὰ παρῳχηκότα ποιησώμεθα, φεῦ, εἰς οἷον
of-the painful(-things) the past we-make alas into what-sort
πάλιν ἑαυτοὺς ἐπιρρίπτομεν ὄλεθρον, οἵων συμφορῶν
again ourselves we-throw destruction what-sort-of calamities
ἀνορύσσομεν βόθυνον, ἡλίκων κακῶν χειμῶνα καθ᾽ ἑαυτῶν
we-dig (a)-pit what-great evils (a)-storm against ourselves
ἀγριαίνοντες ἐπεγείρομεν; «Ἐὰν γάρ, φησί, μὴ ἐπιστραφῆτε,
growing-savage we-rouse if for he-says not you-turn
τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ
the sword his he-will-whet the bow his he-has-bent and
ἡτοίμασεν αὐτὸ, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου»,
prepared it and in it he-prepared vessels of-death

καὶ «ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδα, πῦρ καὶ θεῖον
and he-will-rain on sinners snares fire and brimstone
καὶ πνεύματα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου
and winds of-tempest (shall-be)-the portion of-the cup
αὐτοῦ», καὶ «πῦρ καὶ χάλαζα, λιμὸς καὶ θάνατος, ῥομφαία
their and fire and hail famine and death sword
καὶ μάστιξ ἐπὶ τοὺς ἁμαρτωλοὺς ἐκτίσθησαν ταῦτα
and scourge for the sinners were-created these(-things)
πάντα». Οὐκ ἀλλοτρίων ἡμῖν ὑποδειγμάτων χρεία εἰς
all not of-others to-us examples (is-there)-need for
τὸν οἰκεῖον σωφρονισμόν· ἡμᾶς αὐτοὺς εἰς τὴν σφῶν
the own correction us ourselves for the of-our-own
αὐτῶν διόρθωσιν καὶ νουθεσίαν δεῖ παραλαβεῖν τὸ
selves amendment and admonition (it)-is-needful to-take-up the
πάθος ἡμῶν εἰς ἡμέτερον ἴαμα, τῶν μελλόντων τὸ
suffering our for our healing of-the(-things) to-come the
προλαβόν. Ὅτε γὰρ ἀναγώγοις καὶ ἡδυπαθέσι διατριβαῖς
(thing)-gone-before when for in-unrestrained and voluptuous pursuits
ἐντρυφῶντες ἐκδεδιητήμεθα, ἵνα μὴ τἆλλα λέγω,
luxuriating we-lived-softly that not the other(-things) I-may-say
τότε τὴν ὀργὴν κυρίου ἐφ' ἡμᾶς ὡς χαλάζης πλῆθος
then the wrath of-(the)-lord upon us as of-hail (a)-multitude
ἐπὶ καρπῶν συγκομιδῇ καταφερομένην ἐβλέπομεν.
on of-fruits (the)-gathering borne-down we-saw
Ἔστη ἡ θραῦσις τῇ μετανοίᾳ· μὴ κινήσωμεν αὐτὴν τῇ
stopped the ruin by-the repentance not let-us-move it by-the
ἀμελείᾳ. Κατεπραΰνθη ὁ θυμὸς αὐτοῦ τοῖς τῶν δακρύων
negligence was-calmed the anger his by-the of-the tears
ἡμῶν ὀχετοῖς· μὴ ἀνάψωμεν πάλιν αὐτὸν βρασμῷ
our channels not let-us-kindle again it with-(the)-boiling
γέλωτος ἀκρατοῦς καὶ θυμελικῶν ἀθυρμάτων ἐνδελεχισμοῖς.
of-laughter unrestrained and of-theatrical amusements with-continuances

Ἡ καθ' ἡμῶν ἠκονημένη συνεστάλη ῥομφαία λιταῖς
the against us sharpened was-drawn-in sword to-supplications
καὶ δεήσεσιν ὑποχωρήσασα· μὴ στιλβώσωμεν πάλιν
and prayers having-yielded not let-us-whet again
αὐτὴν ὕπνοις καὶ μέθαις καὶ θεραπείᾳ τῆς ἀκολάστου
it with-sleeps and drunkennesses and in-service of-the licentious
σχολάζοντες γαστρός. Τοῦ στεναγμοῦ τῆς καρδίας ἡμῶν
being-idle belly the groan of-the heart our
καὶ τῆς βοῆς ἐκείνης ἤκουσεν ὁ θεὸς καὶ οὐχ ὑπερεῖδε·
and the cry that heard — god and not overlooked(-it)
μὴ παυσώμεθα τοῦτο ποιεῖν, ἵνα διὰ παντὸς ἡμῖν ἡ
not let-us-cease this to-do that through all us the
θεόθεν φιλανθρωπία ἐπικουρῇ. Κακὸν ἡ μέθη, κακὸν
from-god love-of-mankind may-help evil (is)-the drunkenness evil
ἡ πορνεία, κακὸν τὸ ἀδικεῖν, κακὸν ἡ μισαδελφία, ἡ
the fornication evil the to-do-wrong evil the hatred-of-brothers the
κατὰ τοῦ πλησίον ὀργὴ, ἡ ὑπεροψία, ὁ φόνος, ὁ φθόνος·
against the neighbor anger the arrogance the murder the envy
κακὸν ἡ ῥαθυμία καὶ ἡ ἀμέλεια. Φύγωμεν ταῦτα
evil the laziness and the negligence let-us-flee these(-things)
πάσῃ δυνάμει, ἀγαπητοί· κοινὰ τὰ πάθη ἀρχόντων,
with-all power beloved common (are)-the passions of-rulers
[ἀρχομένων,] πλουσίων, πενήτων, ἀνδράσι, γυναιξί· κοινὰ
of-ruled of-rich of-poor to-men to-women common
γενέσθω καὶ τὰ κατορθώματα. Ταῦτα τὴν ὀργὴν ἐκκαίει
let-become also the right-deeds these(-things) the wrath kindle
τοῦ θεοῦ, ταῦτα τὴν ἀπειλὴν αὔξει, τὴν φιλανθρωπίαν
— of-god these(-things) the threat increase the love-of-mankind
ἀναστέλλει, καὶ ταπεινοὺς μὲν παρασκευάζει τοῖς ἐχθροῖς,
check and humble indeed make to-the enemies
ὑπερυψοῖ δὲ τὸ πολέμιον καθ' ἡμῶν. Ταῦτα βδελυξώμεθα
exalt and the enemy against us these(-things) let-us-abhor

καὶ ἀποστραφῶμεν ἐκ ψυχῆς, ἵνα μὴ τὴν ἀπὸ θεοῦ
and let-us-turn-from from (the)-soul that not the from god
καταδικασθῶμεν ἀποστροφήν. Καὶ γὰρ ὁ παλαιὸς
we-be-condemned-to turning-away and for the old
Ἰσραὴλ, ὅτε τοῖς πάθεσι ἁλοὺς ἐξηλέγχετο, τότε ῥομφαίας
Israel when by-the passions caught was-convicted then of-(the)-sword
παρεδίδοτο στόματι, Ἰσραὴλ ἐκεῖνος οὐχὶ τυχὸν ἔθνος, οὐδὲ
was-given-over to-(the)-mouth Israel that not (a)-chance nation nor
λαὸς παρορώμενος, ἀλλ᾽ ὃς «σχοίνισμα κληρονομίας»
(a)-people overlooked but which (the)-measuring-cord of-inheritance
ἐδοξάζετο, καὶ «λαὸς ἐμακαρίζετο περιούσιος», ἐκεῖνος
was-glorified and (the)-people was-called-blessed peculiar that
οὗτος ἁμαρτάνων μὲν ἐχθροῖς ἐμαστίζετο, κατορθῶν δὲ
this sinning indeed by-enemies was-scourged doing-right and
τούτων ἐκράτει καὶ ὑπερίσχυε, καὶ φυλακὴν μὲν τῶν
over-them prevailed and was-superior and (the)-keeping indeed of-the
ἐντολῶν μελετῶν ὅπλοις ἐκαρποῦτο τὴν ἀλλοτρίαν, ἑτέρων
commandments practicing with-arms reaped the foreign(-land) by-others'
πόνοις αὐτὸς εὐφραινόμενος, τοῦ νόμου δὲ κατολιγωρῶν
toils himself rejoicing of-the law but slighting
αὐτὸς ἀγόμενος δορυάλωτος τὴν οἰκείαν τοὺς ἐχθροὺς
himself led spear-won the own(-land) the enemies
ἑώρα διακληρουμένους καὶ τὸ ἐνυάλιον παιωνίζοντάς τε
saw dividing-by-lot and the war-song chanting both
καὶ πυρριχίζοντας· καὶ λίαν γε τοῦτο σοφῶς τε καὶ
and dancing-the-war-dance and very indeed this wisely both and
δικαίως· δεῖ γὰρ τὸν ἠγαπημένον καὶ οἰκειωθέντα τῷ
justly (it)-is-needful for the beloved and made-his-own —
θεῷ λαὸν οὐ τῇ ἰσχύι πεποιθέναι τῶν χειρῶν οὐδὲ τῇ
by-god people not in-the strength to-trust of-the hands nor in-the
ῥώμῃ μεγαφρονεῖν τοῦ βραχίονος οὐδὲ ταῖς τῶν ὅπλων
might to-be-proud of-the arm nor on-the of-the arms

παρασκευαῖς ἐπερείδεσθαι, πεπεῖσθαι δὲ κατακυριεύειν
preparations to-lean to-be-persuaded but to-master
τῶν ἀνθεστηκότων καὶ κρατεῖν τῇ συμμαχίᾳ τοῦ
the(-ones) opposing and to-prevail by-the alliance of-the
κρείττονος, ἐκείνην δὲ πράξεων συνειδέναι ταῖς ἀρίσταις
stronger that and of-deeds to-know-(it) the best
ἐπακολουθεῖν καὶ κατορθωμάτων πλήθει ἐπιφοιτᾶν.
to-follow and of-right-deeds (a)-multitude to-attend
Ἂν οὖν ἐξολισθήσῃ τις τοῦ καλοῦ καὶ τῆς ἀρετῆς
if then slips-away someone from-the good and from-the virtue
συνολισθαίνειν πάντως ἀνάγκη καὶ τῆς συμμαχίας
to-slip-away-with(-it) wholly (it-is)-necessary also from-the alliance
αὐτοῦ τοῦ θεοῦ· ἂν δὲ τοῖς ἀγαθοῖς ἔργοις κομᾷ τὸν
himself — of-god if but with-the good works he-adorns the
βίον καὶ τεθωρακισμένος τὴν ἀρετὴν σύμμαχον φέρει τὴν
life and armored-with the virtue (as)-ally he-carries the
ἄμαχον ἐπικουρίαν κατ᾽ ἐχθρῶν. Ἀλλ᾽ ὁ μὲν τοῦ θεοῦ
invincible help against enemies but the indeed — of-god
λαὸς τῇ ἐξ αὐτοῦ συμμαχίᾳ καὶ κρατύνεται καὶ τὴν κατὰ
people by-the from him alliance both is-strengthened and the over
τῶν ἀντιπάλων νίκην τροπαιοφορεῖ· τὰ δὲ λοιπὰ τῶν
the opponents victory triumphs the but remaining of-the
ἐθνῶν, οἷς ἡ περὶ τὸ θεῖον δόξα ἡμάρτηται, οὐ ταῖς
nations for-whom the about the divine opinion has-gone-astray not by-the
σφῶν αὐτῶν ἀγαθοεργίαις, ταῖς ἡμετέραις δὲ κακοπραγίαις
of-their own good-deeds by-the our but evil-doings
αὔξει τὴν ἰσχὺν καὶ ταύταις κραταιοῦται καὶ μεγαλύνεται
increases the strength and by-these is-strengthened and is-magnified
καθ᾽ ἡμῶν. Μάστιγες γὰρ ὥσπερ ἐπαφίενται ἡμῖν καὶ τὰ
against us scourges for as-it-were are-let-loose on-us and the
ἡμέτερα παραπτώματα τῶν μαστίγων ὕλη γίνεται, καὶ
our transgressions of-the scourges (the)-material becomes and

τοσοῦτον αὐτοῖς τὸ καθ' ἡμῶν κράτος ἐγχειρίζεται, ὅσον
so-much to-them the against us might is-handed-over as-much-as
ἂν ἡμεῖς ἑαυτῶν τοῖς πάθεσι καταστρατηγήσωμεν καὶ τῇ
— we of-ourselves by-the passions outgeneral and by-the
πρὸς τὸ κακὸν νεύσει καὶ ὑποχωρήσει τὴν τάξιν, ἐφ' ἣν
toward the evil inclination and withdrawal the post at which
ἡμᾶς ὁ σωτήριος καὶ θεῖος νόμος ἔταξεν, ἐγκαταλείψωμεν.
us the saving and divine law stationed we-abandon
Ὅταν οὖν κατορθοῦντες μὲν οἰκειώμεθα θεῷ καὶ τὸ
when then doing-right indeed we-are-made-kin to-god also the
κρατεῖν ἡμῖν παραγίνεται τῶν ἐχθρῶν τῷ κρατεῖν
to-prevail to-us comes over-the enemies by-the to-prevail
τῶν παθῶν, ἁμαρτάνοντες δὲ τὴν θεόθεν εἰσπραττόμεθα
over-the passions sinning but the from-god we-pay
ἀποστροφὴν καὶ τὸ πεσεῖν ὑποχείριοι τοῖς ἐχθροῖς. Πῶς
turning-away and the to-fall subject to-the enemies how
οὐχὶ ταῦτα μὲν ἐκτρέπεσθαι καὶ βδελύττεσθαι δεῖ,
not these(-things) indeed to-turn-from and to-abhor (it)-is-needful
τὰ κατορθώματα δὲ μεταδιώκειν καὶ τούτοις θάλλειν
the right-deeds but to-pursue and by-these to-flourish
καὶ συναύξειν τὸν βίον διὰ παντός; Πῶς δ' ἄν τις
and to-increase the life through all how and — anyone
καὶ κατισχῦσαι θαρρήσειεν ἐχθρῶν, ὅτε τοὺς ἐν αὐτῷ
also to-prevail would-dare over-enemies when the(-ones) in him
πολεμίους καὶ τὰς στάσεις ἔνδον θάλπει πορθοῦντας αὐτὸν,
enemies and the factions within he-warms ravaging him
ὅτε θυμὸς ἄλογος τοῦ αὐτοκράτορος λογισμοῦ κρατεῖ καὶ
when anger irrational the sovereign reason masters and
κατὰ τοῦ πλησίον μηδὲν ἴσως ἠδικηκότος ἀναπείθει φονᾶν;
against the neighbor nothing perhaps having-wronged persuades to-murder
πῶς σοι πολεμίων περιεῖναι τὸ νικᾶν ζητεῖς, ὅτε τὸ
how for-you over-enemies to-prevail the to-conquer do-you-seek when the

λίχνον τῆς ἐπιθυμίας ὑποχείριον λαβὸν τὸν αὐτοδέσποτον
gluttony of-the desire subject having-taken the self-ruling
λογισμὸν ἕλκει τε καὶ μεθέλκει περιάγον καὶ δουλαγωγοῦν,
reason drags both and drags-about leading-around and enslaving
ἔνθα ἂν ἐπιτάττῃ τὸ πάθος; Πῶς οὕτω πορθουμένοις τε
wherever — commands the passion how so to-the-ravaged both
καὶ κατηνδραποδισμένοις τὸ κατὰ τῶν πολεμίων ἔπαθλον
and enslaved the over the enemies prize
ἔψοιτο; Οὐκ ἔστιν, ὅλως οὐκ ἔστιν ὑπὸ τῶν
would-follow not it-is(-possible) wholly not it-is(-possible) by the
ἐμφυλίων ἐχθρῶν δεσμευθέντα τε καὶ δουλωθέντα καὶ τοῖς
civil enemies bound both and enslaved and to-the
πάθεσι πεπρακότα ἑαυτὸν κυριεύειν δύνασθαι τῶν ὑπαίθρων
passions having-sold himself to-master to-be-able of-the in-the-open
ἐχθρῶν. Ἂν οὖν ἐκείνους καθελεῖν ἐθελήσωμεν, πολὺ
enemies if then those to-destroy we-wish much
πρότερον τοὺς ἐντὸς πολεμίους ὑποτάξαι σπουδάσωμεν,
earlier the within enemies to-subdue let-us-be-eager
τὴν τούτων στάσιν καὶ τὴν ἔριν καταλύσωμεν.
the their faction and the strife let-us-end
Ἔστω τῶν παθῶν ὁ λογισμὸς αὐταρχῶν, καὶ τότε τῶν
let-be of-the passions the reason sovereign and then of-the
ἐναντίων, οἷς ἔξωθεν βάλλειν καὶ τιτρώσκειν ἄδεια,
opponents for-whom from-outside to-strike and to-wound (is)-license
ἐγκρατεῖς γενησόμεθα. Ἂν γὰρ ὃν αὐτοκράτορα
masters we-shall-become if for the(-one)-which (as)-sovereign
λογισμὸν ἔλαβες ἐκ θεοῦ, τοῦτον ταῖς ἡδοναῖς προπιὼν
reason you-received from god this to-the pleasures having-drunk-away
ὡς ἀνδράποδον ὑπέταξας αὐταῖς αὐτὸν, πῶς πολεμίων
as (a)-slave you-subjected to-them it how of-enemies
ἔξωθεν ἐπιτιθεμένων γενέσθαι κύριος ἐπιθυμεῖς; Πῶς
from-outside attacking to-become master do-you-desire how

δυσμενῶν σκυλεύσεις ἀποσκευὴν ὁ ταῖς ἐγκολπίοις
of-foes will-you-strip (the)-baggage the(-one) by-the in-the-bosom
στάσεσι καὶ ταῖς ἐπιβουλαῖς καθ᾽ ἑκάστην σκυλευόμενος
factions and by-the plots by each(-day) stripped
τὸν νοῦν; Ἐκφυλλοφορήσωμεν πρότερον τοὺς ἐμφυλίους
the mind let-us-banish first the civil(-enemies)
τῶν λογισμῶν, καὶ τότε λαφυραγωγήσομεν τῶν ἀλλοφύλων
of-the thoughts and then we-shall-plunder of-the foreigners
εὐχερῶς τὴν ἰσχύν. Οὐχ ὁρᾷς καὶ τὸν Ἰσραὴλ, ὡς ἐπειδὰν
easily the strength not do-you-see also — Israel how when
μὲν ἐκράτει παθῶν, ἐκράτει καὶ τῶν ἐχθρῶν; συνεστρατήγει
indeed it-mastered passions it-mastered also the enemies (was)-fellow-general
γὰρ αὐτῷ ὁ θεός· ὅτε δὲ τῇ ἁμαρτίᾳ ἐδεδούλωτο, τότε
for with-it — god when but to-the sin it-had-been-enslaved then
καὶ τοῖς ἐχθροῖς ἐξεδίδοτο· ἐγκατελελοίπει γὰρ αὐτοὺς ἡ
also to-the enemies it-was-given-over had-forsaken for them the
συστρατηγοῦσα θεία ἰσχύς. Οὗτος εὐαρεστῶν θεῷ διὰ
fellow-generaling divine strength this(-people) pleasing god through
Μωυσέως τὰς τῶν Αἰγυπτίων φοβερὰς καὶ βαρείας χεῖρας
Moses the of-the Egyptians fearful and heavy hands
ἐξέφυγε, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἡ ἀγριαίνουσα
escaped and not this only but also the raging
θάλασσα αὐτοῖς μὲν εἰς εὐθεῖαν τρίβον ὑπὲρ λόγον
sea for-them indeed into (a)-straight path beyond reason
κατηυτρέπιστο, τάφος δ᾽ αἰώνιος τοῖς τῶν Αἰγυπτίων
was-made-ready (a)-tomb but eternal for-the of-the Egyptians
ἐπιδιώκουσιν ἀνεῴγνυτο, αὐτοῖς ἵπποις, αὐτοῖς ἅρμασι,
pursuing(-ones) was-opened with-their horses with-their chariots
αὐτῷ Φαραὼ τερατουργοῦσα τὸν ὄλεθρον· ἐν οἷς ὁ
with-himself Pharaoh working-by-wonder the destruction in which the
ἠγαπημένος τῷ θεῷ λαὸς ηὐφράνθη τε καὶ ἠγαλλιάσατο
beloved — by-god people rejoiced both and exulted

καὶ τῷ στρατηγῷ καὶ νικοποιῷ θεῷ ᾠδὴν ἀνεκρούσατο
and to-the general and victory-making god (a)-song struck-up
ἐν χαρᾷ τὴν ἐξόδιον. Ἀλλ᾽ οὗτοι πάλιν ἐπειδὰν
in joy the (song)-of-exodus but these again when
ὑπεσύρησαν ἁλῶναι γογγυσμῷ καὶ δίχα προστάγματος
they-were-dragged-down to-be-caught by-grumbling and without command
θεοῦ ἐπὶ πολέμου παρασκευὴν ἐξηρτύσαντο καὶ τὴν
of-god for of-war preparation they-equipped(-themselves) and the
ἐν χειρῶν νόμῳ πεποίθησιν τοῦ θείου προτεθεικέναι
in of-hands law confidence than-the divine to-have-put-before
συνθήματος ἐξηνέχθησαν, κραταιῶς καταπολεμηθέντες
signal they-were-carried-away mightily warred-down
ἡττήθησαν, τῷ οἰκείῳ παραπτώματι τῶν ἀντιπάλων τὸ
they-were-defeated by-the own transgression of-the opponents the
κράτος ὀγκώσαντες καὶ τὸ κλέος ἀνυψώσαντες. Πάλιν
might having-swelled and the fame having-exalted again
δὲ νόμῳ θεοῦ στρατηγούμενοι καὶ τοῖς Μωυσέως
but by-(the)-law of-god generaled and to-the of-Moses
λόγοις πειθαρχούμενοι πολλὰς μὲν τῶν πολεμίων πόλεις
words obedient many indeed of-the enemies cities
ἐξεπόρθησαν, πολλῶν δὲ σωμάτων ἐκράτησαν, πολλὴν δὲ
they-sacked many and bodies they-mastered much and
λείαν ἐλαφυραγώγησαν, καὶ πολλῆς θυμηδίας καὶ χαρᾶς
booty they-plundered and with-much delight and joy
ἐνεπλήσθησαν. Καὶ παρέμεινεν ἂν αὐτοῖς ἡ ἐπὶ τῇ
were-filled and would-have-remained — for-them the at the
νίκῃ θυμηδία καὶ τέρψις, εἰ μὴ ἀχαριστίᾳ τοὺς ὄφεις
victory delight and pleasure if not by-ingratitude the serpents
καθ᾽ ἑαυτῶν ἐπεστράτευσαν, ἐπεὶ μὴ παρῆν ἔθνος ὃ
against themselves they-had-marched-out since not was-present (a)-nation which
τὴν ἐπὶ τῇ ἀχαριστίᾳ δικαίαν ἀγανάκτησιν τοῦ θεοῦ διὰ
the at the ingratitude just indignation — of-god by

ξίφους ἀνεπλήρου καὶ ἀνεδείκνυτο. Οὕτω μαστίζεται λαὸς
sword might-fulfill and might-display thus is-scourged (a)-people
ἁμαρτάνων ἢ ξίφεσι πολεμίων θεριζόμενοι ἢ θηρίων
sinning either by-swords of-enemies reaped or of-beasts
ὀδοῦσι κατεσθιόμενοι ἢ κλόνῳ γῆς καὶ βρασμῷ βιαίῳ
by-teeth devoured or by-tremor of-earth and by-heaving violent
παιδευόμενοι ἢ σκηπτοῖς οὐρανίοις ἀπανθρακούμενοι ἢ
chastised or by-thunderbolts heavenly burnt-to-cinders or
καρπῶν ἀφορίᾳ πιεζόμενοι ἢ ἀέρος φθόρῳ συμφθειρόμενοι.
of-fruits by-failure pressed or of-air by-corruption corrupted-together
Καὶ τρόπος κολάσεως οὐκ ἐξαπορεῖται κατάλληλος τῷ
and (a)-way of-punishment not is-lacking corresponding to-the
τοῦ σφάλματος ἐπιτηδεύματι, καὶ τοῦτό τις διαφυγὼν
of-the error practice and this someone having-escaped
ἐκείνῳ περιεπάρη, κἀκεῖνο πάλιν ἄλλος ἴσως διαδρὰς
on-that was-impaled and-that again another perhaps having-run-from
ὑπὸ τοῦ ἑτέρου συνηνέχθη, καὶ ὁ παρανόμως βιοὺς καὶ
by the other was-caught and the(-one) lawlessly living and
τὰς εὐθύνας ὠφληκὼς, τὴν δίκην φυγεῖν οὐ δυνήσεται. Τί
the accounts having-owed the penalty to-escape not will-be-able why
γάρ μοι δεῖ καταλέγειν τὰ ἐπίλοιπα τοῦ Ἰσραὴλ,
for me (is-it)-needful to-list the remaining(-things) — of-Israel
τὰς κατ᾽ ἐχθρῶν νίκας, ὅτε ἐσωφρόνει, τὰς ἀπροσδοκήτους
the over enemies victories when it-was-temperate the unexpected
ἥττας, ὅτε πάλιν παρεφρόνει, τὴν αἰχμαλωσίαν, τὴν
defeats when again it-was-senseless the captivity the
ἐπάνοδον, τὴν ἐπανάστασιν, πάλιν τὴν ἀποκατάστασιν,
return the revolt again the restoration
αὐτὴν τὴν καταστροφὴν τῆς Ἱερουσαλὴμ, τὴν ἀνοικοδομὴν
itself the overthrow — of-Jerusalem the rebuilding
πάλιν. Ὧν τὰ μὲν χρηστὰ χρηστοῖς ἐπήνθει πράξεσι,
again of-which the indeed good(-things) by-good flowered deeds

μοχθηρῶν δὲ ἦσαν εἰσπράξεις τὰ δυσχερῆ. Ἔχοντες
of-wicked(-deeds) but were exactions the hard(-things) having
οὖν, ἀγαπητοί, τὰ ἐφ᾽ ἡμᾶς αὐτοὺς συνενεχθέντα εἰς
then beloved the upon us ourselves having-befallen for
ἡμῶν αὐτῶν ἐπανόρθωσιν τὰ κατὰ τὸν Ἰσραὴλ
our own correction the(-things) in — Israel
πάλαι προϋποδειχθέντα, μισήσωμεν τὴν ἁμαρτίαν καὶ
long-ago shown-beforehand let-us-hate the sin and
ἀνθεξώμεθα τῶν ἀρετῶν. Φύγωμεν τὰ ἐγκύκλια ταῦτα
let-us-hold-fast to-the virtues let-us-flee the common these
καὶ ψυχοβλαβῆ πλημμελήματα, μέθην, πορνείαν, φθόνον,
and soul-harming offenses drunkenness fornication envy
καταλαλιὰν, πλεονεξίαν, ἀδικίαν, ἀλαζονείαν, μισαδελφίαν,
slander greed injustice boastfulness hatred-of-brothers
τὰ τούτων ἔκγονα, ὡς ἂν καὶ τῆς ἐν πολέμοις
the their offspring so-that — also of-the in wars
τροπαιοφορίας εὐτυχήσωμεν καὶ τῆς οὐρανίου κληροδοσίας
triumph we-may-be-fortunate and of-the heavenly allotment
μὴ ἀστοχήσωμεν. Ἀλλ᾽ ἐπειδὴ τῆς ἀπειλῆς ἐρρύσθημεν καὶ
not we-may-miss but since from-the threat we-were-rescued and
τὴν μάχαιραν διεφύγομεν καὶ παρῆλθεν ἡμᾶς ὁ ὀλοθρευτὴς
the sword we-escaped and passed-over us the destroyer
τῆς μητρὸς τοῦ λόγου τῇ περιβολῇ σκεπασθέντας τε
of-the mother of-the word by-the robe sheltered both
καὶ διασημανθέντας, κοινῇ πάντες σὺν αὐτῇ τῷ ἐξ
and sealed in-common all with her to-the from
αὐτῆς τεχθέντι Χριστῷ τῷ θεῷ ἡμῶν εὐχαριστηρίους ᾠδὰς
her born Christ — to-god our thanksgiving songs
ἀναπέμψωμεν, πᾶς οἶκος, ὃς τὸ ξίφος διέφυγεν, ἡλικία
let-us-send-up every house which the sword escaped age
πᾶσα, γυναῖκες, παῖδες, νέοι καὶ πρεσβῦται· οἷς γὰρ
τύπους τῶν πραγμάτων ἐν τῇ ψυχῇ προενθέμενος,
patterns of-the things in the soul having-placed-beforehand
ἀμίμητον ἔργον ἐπὶ γῆς πανσόφως ὑπεστήσατο.
(an)-inimitable work on earth all-wisely gave-being-to
Λέγε τοιγαροῦν ἡμῖν, ὦ βασιλέων φιλοχριστότατε καὶ
speak therefore to-us O of-emperors most-Christ-loving and
θεοφιλέστατε, καὶ πάντας τοὺς ἔμπροσθεν νικῶν τε ἅμα
most-God-beloved and all the(-ones) before conquering both at-once
καὶ λαμπρῶς φαιδρύνων τῇ κοινωνίᾳ τοῦ ἀξιώματος.
and splendidly brightening by-the sharing of-the dignity
Λέγε προθύμους, ὡς ὁρᾷς, τοὺς ἀκουσομένους ἔχων,
speak eager as you-see the(-ones) going-to-hear having
ἐφ᾽ ὅπερ ἡμᾶς συνεκάλεσας. Δεῖξον τοῖς λόγοις, ἃ τοῖς
to what us you-called-together show by-the words what by-the
ἔργοις προϋπέδειξας. Ἆρα γὰρ πάλιν κατὰ Βαρβάρων
deeds you-showed-beforehand (is-it)-then for again over Barbarians
νίκας ἀναστήσας καὶ τρόπαια, οἷς πολλάκις ἔργοις
victories having-set-up and trophies with-which often works
ἐπ᾽ ἄλλοις ἡμᾶς ἐδεξιώσω φιλοφρονούμενος, ἐπὶ τούτοις
on others us you-welcomed showing-kindness for these
συνήγειρας, εὐφραῖναί τε ἅμα καὶ τῷ δεδωκότι
you-gathered to-gladden both at-once and to-the(-one) having-given
κοινὴν καὶ πάνδημον ἀναπέμψαι τὴν εὐχαριστίαν; Ἢ
common and public to-send-up the thanksgiving or
λαβὼν ὑποσπόνδους ἄλλους, καὶ ταπεινώσας ὑψηλὸν καὶ
having-taken (as)-under-treaty others and having-humbled (a)-lofty and
γαῦρον καὶ ἀλλόφυλον φρόνημα, ὡς ἐπὶ τὴν κραταιὰν
proud and foreign spirit as to the mighty
χεῖρα τοῦ Θεοῦ εὐσεβοφρόνως ἀναφέρων πάντα τά
hand — of-God piously referring all the(-things)
σοι καθορθούμενα· ἢ πόλεις ὑπηκόους, τὰς μὲν πάλαι
by-you accomplished or cities subject some indeed long-ago

κάτω κειμένας ἀνορθώσας, τὰς δὲ καὶ ἐκ βάθρων
down lying having-set-upright others and even from foundations
αὐτῶν ἀνεγείρας, καὶ ἄλλων ἀνοικισμοὺς ἐργασάμενος,
their having-raised and of-others resettlements having-wrought
καὶ τῆς πολιτείας πυκνώσας τὰ ὅρια, ἢ πλουτῶν, καὶ
and of-the commonwealth having-thickened the borders or enriching and
ποιῶν εὐδαίμονας τὸ ὑπήκοον. Δίδαξον ἡμᾶς, πρὸς σὲ
making happy the subject(-people) teach us toward you
τὸν κοινὸν τῆς οἰκουμένης ἀφορῶντας ὀφθαλμὸν, ἐπὶ
the common of-the world looking eye for
τίνι τούτων ἡμᾶς συνεκάλεσας; Ἢ σιγᾷς μὲν αὐτὸς
which of-these us you-called-together or are-you-silent indeed yourself
ἐπιεικείας τρόπῳ, καὶ τῷ μὴ βούλεσθαί σε τὰ σὰ ἡμῖν
of-modesty by-way and by-the not to-wish you the your to-us
διηγεῖσθαι κατορθώματα, οἷς ἀνάγκη τοὺς ἐπαίνους
to-narrate right-deeds with-which (it-is)-necessary the praises
συνυφαίνεσθαι· ἐμὲ δὲ παρέχεις ὑπηχῆσαι τῷ λόγῳ τοῖς
to-be-woven-in me and you-allow to-sound-forth in-the speech by-the
σοῖς ἔργοις ἐμπνεόμενον, τοῦ παρόντος συλλόγου τὸ αἴτιον.
your works inspired of-the present assembly the cause
Ἄλλη τοιγαροῦν, ὦ φίλοι, τελετὴ, καὶ ἄλλο μυστήριον
another therefore O friends (a)-rite and another mystery
σήμερον. Ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον,
today (a)-temple virginal on earth is-dedicated today
καὶ τῆς Θεομήτορος, εἴπερ ἄλλο τι, τῶν ἐγκοσμίων
and of-the Mother-of-God if-indeed other anything of-the(-things) in-the-world
ἐπάξιον οἰκητήριον. Ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται
worthy dwelling (a)-temple virginal on earth is-dedicated
σήμερον, βασιλικῆς μεγαλοπρεπείας ἔργον ὡς ἀληθῶς
today of-imperial magnificence (a)-work as truly
πολυύμνητον. Ναὸς ἐν μέσοις αὐτοῖς ἀνακτόροις,
much-hymned (a)-temple in (the)-midst of-the-very palaces

ἀνάκτορον ἄλλο θεῖον καὶ σεβάσμιον ἀνιστάμενος, καὶ
(a)-palace another divine and venerable rising and
τῇ πρὸς αὐτὸ παραβολῇ καὶ συγκρίσει, ἰδιωτικὰς οἰκίας
by-the toward it comparison and juxtaposition private houses
ἀποφαίνων τὰ ἀνάκτορα· μᾶλλον δὲ καὶ τῇ ἐνούσῃ
showing the palaces rather and also by-the being-in(-it)
λαμπρότητι καὶ ταῦτα περιαστράπτων καὶ φαιδρύνων, καὶ
splendor even these flashing-around and brightening and
πολὺ παρασκευάζων τοῦ προτέρου κόσμου σεμνότερα.
much making than-the former adornment more-solemn
Εἴποις ἂν εἰς αὐτὸν ἰδών, οὐκ ἀνθρωπίνης χειρὸς
you-would-say — at it having-looked not of-human hand
ἔργον, ἀλλὰ θείαν τινὰ καὶ ὑπὲρ ἡμᾶς δύναμιν τὸ κάλλος
(a)-work but divine some and beyond us power the beauty
αὐτῷ ἐπιμορφώσασθαι. Προπύλαια μὲν γὰρ τῷ ναῷ
for-it to-have-shaped porches indeed for for-the temple
περικαλλῆ διεσκεύασται· καὶ γὰρ μαρμάρων διαλεύκων
very-beautiful have-been-arranged and for of-marbles very-white
πλάκες λαμπρόν τι καὶ χάριεν ἀποστίλβουσαι, ὅλην
slabs splendid something and graceful glittering whole
ἐναπολαβοῦσαι τὴν πρόσοψιν, καὶ τὴν πρὸς ἀλλήλας
having-taken-in the front and the toward one-another
θέσιν, καὶ τὴν τῶν περάτων συνάφειαν τῷ ὁμαλῷ καὶ
position and the of-the edges joining by-the even and
λείῳ, καὶ τῷ προσηρμόσθαι λίαν ἀποκρύψασαι, εἰς ἑνὸς
smooth and by-the to-have-been-fitted exceedingly having-hidden into of-one
λίθου συνέχειαν γραμμαῖς εὐθείαις ὥσπερ ἐπιγεγραμμένου,
stone continuity with-lines straight as-it-were inscribed
θαῦμα καινὸν ὁραθῆναι καὶ ἥδιστον, τὴν τῶν ὁρώντων
(a)-wonder new to-be-seen and sweetest the of-the beholders
φαντασίαν ὑπάγουσιν. Ἐξ οὗπερ τὰς ὄψεις συνέχουσαι,
imagination lead-on from which the eyes holding

καὶ πρὸς ἑαυτὰς ἐπιστρέφουσαι, οὐκ ἐθέλειν ποιοῦσι τὸν
and toward themselves turning not to-wish make the
θεατὴν μεταχωρῆσαι πρὸς τὰ ἐνδότερα· ἀλλ᾽ ἐν αὐτῷ
beholder to-pass-on to the inner(-parts) but in very
τῷ προτεμενίσματι τοῦ καλοῦ θεάματος ὁ προσιὼν
the forecourt of-the beautiful sight the(-one) approaching
ἐμπιπλάμενος. καὶ τοῖς ὁρωμένοις ἐρείδων τὰ ὄμματα,
filling-himself and on-the(-things) seen fixing the eyes
ὥσπερ τις ἐῤῥιζωμένος τῷ θαύματι ἕστηκεν. Ὀρφεῖ
as someone rooted by-the wonder stands to-Orpheus
μὲν οἱ μῦθοι τῷ Θρᾳκὶ κιθάραν κροτοῦσι, κινοῦσαν τοῖς
indeed the myths the Thracian (a)-lyre strike moving with-the
φθόγγοις τὰ ἄψυχα. Εἰ δὲ καὶ ἡμῖν ἐξῆν ἐς
sounds the soulless(-things) if and also to-us it-were-permitted into
μύθους ἐπαίρειν καὶ φοβερὰν ποιεῖν τὴν ἀλήθειαν, εἶπεν
myths to-lift and fearful to-make the truth would-have-said
ἄν τις, τοὺς προσιόντας τῷ προτεμενίσματι, εἰς φυτῶν
— *someone the(-ones) approaching the forecourt into of-plants*
ἀποδενδρουμένους φύσιν τῷ θαύματι μεταβάλλεσθαι·
turned-into-trees nature by-the wonder to-be-changed
οὕτως ἅπαξ τις ἰδὼν δυσαποσπάστως κατέχεται.
so once someone having-seen with-difficulty-torn-away is-held
Ἐπειδὰν δὲ τις ἐκεῖθεν μόλις ἀποσπασθεὶς εἰς αὐτὸ
when and someone from-there scarcely torn-away into very
παρακύψῃ τὸ τέμενος, ἡλίκης καὶ ὅσης οὗτος χαρᾶς τε
peeps the sanctuary with-how-great and how-much this(-man) joy both
ἅμα καὶ ταραχῆς καὶ θαύματος ἐμπίπλαται! Ὡς εἰς αὐτὸν
at-once and confusion and wonder is-filled as into itself
γὰρ τὸν οὐρανὸν ἐπιπροσθοῦντος μηδαμόθεν ἐπιβεβηκὼς, καὶ
for the heaven obstructing from-nowhere having-stepped and
τοῖς πολυμόρφοις καὶ πανταχόθεν ὑποφαινομένοις κάλλεσιν,
by-the many-shaped and from-all-sides appearing beauties

ὡς ἄστροις, περιλαμπόμενος, ὅλος ἐκπεπληγμένος γίνεται.
as by-stars illumined wholly astounded he-becomes
Δοκεῖ δὲ λοιπὸν τά τε ἄλλα ἐν ἐκστάσει εἶναι, καὶ αὐτὸ
it-seems and for-the-rest the both other(-things) in ecstasy to-be and very
περιδονεῖσθαι τὸ τέμενος. Ταῖς γὰρ οἰκείαις καὶ παντοδαπαῖς
to-whirl-around the sanctuary by-the for own and manifold
περιστροφαῖς, καὶ συνεχέσι κινήσεσιν· ἃ πάντως παθεῖν
turnings and continuous motions which wholly to-suffer
τὸν θεατὴν ἡ πανταχόθεν ποικιλία βιάζεται τοῦ θεάματος,
the beholder the from-all-sides variety forces of-the spectacle
εἰς αὐτὸ τὸ ὁρώμενον τὸ οἰκεῖον φαντάζεται πάθημα.
onto very the seen(-thing) the own he-imagines experience
Ἀλλὰ γὰρ χρυσός τε καὶ ἄργυρος τὰ πλεῖστα τοῦ
but for gold both and silver the most of-the
ναοῦ διειλήφασιν· ὁ μὲν ψηφῖσιν ὑπαλειφόμενος· ὁ
temple have-occupied the indeed in-mosaic-cubes laid-on the
δὲ εἰς πλάκας ἀποξεόμενος καὶ τυπούμενος, ἄλλος
and into plates beaten and stamped another
ἄλλοις ἐπιπλασσόμενος μέρεσιν. Ἐνταῦθα ἐπικοσμούμενα
on-other molded-on parts here adorned
κιονόκρανα. Ἐνταῦθα δὲ διὰ χρυσῶν περιζώματα· ἀλλαχόθι
capitals here and with gold girdles elsewhere
δὲ ταῖς ἀλύσεσιν ἐπιπλεκόμενος χρυσὸς, ἢ χρυσοῦ τι
and with-the chains interwoven gold or than-gold something
θαυμασιώτερον, ἡ θεία τράπεζα, σύνθημα. Ἄργυρος δὲ
more-wonderful the divine table (a)-composite silver and
παρὰ τὰς πυλίδας καὶ πυλίδας τοῦ θυσιαστηρίου, σὺν τοῖς
by the little-gates and little-gates of-the altar with the
περιστῴοις· καὶ αὐτὸς ὁ κωνοειδὴς καὶ τῇ θείᾳ τραπέζῃ
colonnades and itself the cone-shaped and on-the divine table
ἐπικείμενος σὺν τοῖς ὑπερείδουσι στυλίσκοις καὶ ὑπωρόφοις
lying with the supporting little-columns and under-roofed

ὄροφος, καὶ μαρμάρων δὲ πολυχρώμων ὅσα μὴ χρυσὸς
roof and of-marbles too many-colored whatever not gold
ἐπέδραμεν, ἢ ἄργυρος περιέλαβεν, ἀμήχανόν τε καὶ
ran-over or silver embraced (an)-extraordinary both and
τερπνὸν φιλοτέχνημα, τὰ λοιπὰ τοῦ ναοῦ διεκόσμησεν.
delightful masterpiece the remaining(-parts) of-the temple adorned
Ἡ δὲ τοῦ ἐδάφους θέα, εἰς ζώων μορφὰς καὶ σχημάτων
the and of-the floor sight into of-animals forms and of-figures
ἄλλας ἰδέας ταῖς πολυμόρφοις ψηφῖσι διαμορφωθεῖσα,
other shapes with-the many-shaped cubes formed
θαυμαστήν τινὰ τοῦ τεχνίτου τὴν σοφίαν παρεστήσατο.
(a)-wonderful some of-the craftsman the wisdom presented
Παῖδας ὡς ἀληθῶς καὶ πλασμάτων πλάστας τοὺς Φειδίας
children as truly and of-moldings molders the Pheidiases
ἐκείνους καὶ Παρασίους καὶ Πραξιτέλεις καὶ Ζεύξιδας ἐν
those and Parrhasiuses and Praxiteleses and Zeuxises in
τῇ τέχνῃ ἐπελέγξασα. Δημόκριτος εἶπεν ἂν, οἶμαι, τὴν
the art having-proved Democritus would-have-said — I-think the
τοῦ ἐδάφους λεπτουργίαν ἐνιδὼν, καὶ ταύτῃ τεκμηρίῳ
of-the floor fine-work having-looked-upon and this (as)-proof
χρώμενος, μὴ ἂν πόῤῥω εἶναι τὸ μὴ οὐχὶ καὶ τὰς ἀτόμους
using not — far to-be the not not even the atoms
αὐτοῦ καὶ ὑπ᾽ ὄψιν πιπτούσας ἀνευρῆσθαι· οὕτω πάντα
his even under sight falling to-have-been-found so all(-things)
πεπλήρωται θαύματος. Ἐνὶ δέ μοι δοκεῖ μόνον ὁ τοῦ
have-been-filled with-wonder in-one and to-me seems only the of-the
τεμένους ἀρχιτέκτων διημαρτηκέναι, ὅτιπερ εἰς ἕνα καὶ τὸν
sanctuary architect to-have-erred that into one and the
αὐτὸν χῶρον ἅμα πάντα συλλέξας τὰ κάλλη, οὐκ ἐᾷ τὸν
same space at-once all having-collected the beauties not he-allows the
θεατὴν καθαρῶς ἐντρυφῆσαι τοῦ θεάματος, ἄλλων ἀπ᾽ ἄλλων
beholder purely to-luxuriate in-the sight others from others

ἀφελκόντων τε καὶ μετασπώντων· καὶ μὴ παραχωρούντων
drawing-away both and pulling-across and not yielding
ὅσον τις ἐθέλει τοῦ ὁρωμένου κορέννυσθαι.
as-much-as one wishes of-the seen(-thing) to-be-satisfied
Ὃ δέ με παρέδραμε, καὶ πρῶτον ῥηθῆναι ἔδει.
what and me ran-past and first to-be-said (it)-was-needful
Ἀλλὰ γὰρ οὐδ' ἐν τοῖς λόγοις τοῦ τεμένους τὸ θαῦμα
but for not-even in the words of-the sanctuary the wonder
παρέχει τῷ λέγοντι καθαρῶς, τὸ ἴδιον τελεῖν ἔργον·
allows to-the speaker purely the own to-accomplish work
καὶ δὴ νῦν εἰρήσεται, ἐπ' αὐτῆς γὰρ τῆς ὀροφῆς,
and indeed now it-shall-be-said on itself for the roof
ἀνδρείκελος εἰκὼν μορφὴν φέρουσα τοῦ Χριστοῦ πολυανθέσι
(a)-man-like image (the)-form bearing — of-Christ in-many-flowered
ψηφῖσιν ἐγγέγραπται. Εἴποις ἂν αὐτὸν τὴν γῆν ἐφορᾷν,
cubes is-inscribed you-would-say — him the earth to-oversee
καὶ τὴν περὶ ταύτης διανοεῖσθαι διακόσμησίν τε καὶ
and the about it to-ponder ordering both and
κυβέρνησιν· οὕτως ἀκριβῶς ὁ γραφεὺς καὶ τοῖς σχήμασι
government so exactly the painter even by-the figures
τὴν τοῦ Δημιουργοῦ περὶ ἡμᾶς κηδεμονίαν ἐπίπνους
the of-the Creator about us care inspired
γέγονεν ἐντυπώσασθαι. Τοῖς δὲ περὶ αὐτῇ ὀροφῇ τοῦ
became to-imprint in-the and around itself roof of-the
ἡμισφαιρίου τμήμασιν ἐγκύκλοις, πληθὺς ἀγγέλων τῷ
hemisphere sections circular (a)-multitude of-angels the
κοινῷ Δεσπότῃ δορυφοροῦντες διαμεμόρφωνται. Ἡ δὲ ἀπὸ
common Master escorting have-been-formed the and from
τοῦ θυσιαστηρίου ἀνεγειρομένη ἀψὶς, τῇ μορφῇ τῆς
the altar rising apse with-the form of-the
Παρθένου περιαστράπτεται, τὰς ἀχράντους χεῖρας ὑπὲρ
Virgin flashes the undefiled hands for

ἡμῶν ἐξαπλούσης, καὶ πραττομένης τῷ βασιλεῖ τὴν
us spreading-out and working for-the emperor the
σωτηρίαν, καὶ κατ᾽ ἐχθρῶν ἀνδραγαθήματα. Χορὸς δὲ
salvation and against enemies brave-deeds (a)-choir and
ἀποστόλων καὶ μαρτύρων· ναὶ δὴ καὶ προφητῶν καὶ
of-apostles and martyrs yes indeed also of-prophets and
πατριαρχῶν, ὅλον πληροῦντες ταῖς εἰκόσι τὸ τέμενος
of-patriarchs whole filling with-the images the sanctuary
ἐξωραΐζουσιν· ὧν ὁ μὲν καὶ σιγῶν᾽ δι᾽ ὧν πάλαι
beautify of-whom the indeed even being-silent through what long-ago
ἀνεφθέγξατο, βοᾷ· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου,
he-uttered cries how beloved (are)-the dwellings your
Κύριε τῶν δυνάμεων! ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς
Lord of-the powers longs and fails the soul my for
τὰς αὐλὰς τοῦ Κυρίου. Ὁ δέ· Ὡς θαυμαστὸς ὁ τόπος οὗτος!
the courts of-the Lord the and how wonderful the place this
οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος Θεοῦ· Ἐπιφωνεῖ δέ τις
not is this but only (the)-house of-God cries-out and someone
ἴσως καὶ τῶν οὐχ ἡμετέρων οὐδ᾽ ἐγγεγραμμένων, καὶ ἄκων
perhaps even of-the not ours nor inscribed and unwilling
ἐπιθειάζων τὰ ἡμέτερα· Ὡς καλοί σου οἱ οἶκοι, Ἰακὼβ, αἱ
divining the our(-things) how fair your the houses Jacob the
σκηναί σου, Ἰσραήλ! ὡσεὶ παράδεισοι ἐπὶ ποταμοὺς, καὶ
tents your Israel as paradises by rivers and
ὡς αἱ σκηναὶ ἃς ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.
as the tents which pitched the Lord and not (a)-man
Πάλαι μὲν οὖν τῷ θεόπτῃ Μωσῇ θείῳ προστάγματι
long-ago indeed then for-the God-seer Moses by-divine command
σκηνὴ κατεσκεύαστο· θυσίαν τε θῦσαι Θεῷ
(a)-tabernacle had-been-made (a)-sacrifice both to-sacrifice to-God
ἁμαρτίας ἐξιλάσασθαι. Καὶ τῷ Σολομῶντι δὲ βασιλεῖ ὁ ἐν
sins to-propitiate and — for-Solomon too king the in

Ἱεροσολύμοις ναὸς ὕστερον τερπνόν τι χρῆμα, καὶ πάντας
Jerusalem temple later (a)-delightful some thing and all
τοὺς ἔμπροσθεν τῷ κάλλει καὶ μεγέθει, καὶ τῇ πολυτελείᾳ
the(-ones) before by-the beauty and greatness and by-the costliness
ἀποκρυψάμενος. Ἀλλ' ὅσον σκιὰ καὶ τύπος ἀληθείας καὶ
having-eclipsed but as-much-as (a)-shadow and (a)-type of-truth and
πραγμάτων αὐτῶν ὑποβέβηκε, τοσοῦτον ἐκεῖνα τοῦ νῦν
of-things themselves falls-short so-much those(-things) than-the now
ἐξοικοδομηθέντος ναοῦ τῷ πιστῷ καὶ μεγάλῳ βασιλεῖ ἡμῶν·
built temple by-the faithful and great emperor our
οὐχ ὅτι ὁ μὲν τῆς χάριτος καὶ τοῦ πνεύματος, τὰ δὲ
not because the indeed of-the grace and of-the spirit the(-others) but
τοῦ νόμου καὶ τοῦ γράμματος, ἀλλ' ὅτι καὶ τῷ κάλλει,
of-the law and of-the letter but because both in-the beauty
καὶ τῇ ἄλλῃ τεχνουργίᾳ καὶ δεξιότητι, τὰ δεύτερα φέρουσι.
and in-the other craftsmanship and skill the second(-place) they-carry
Καὶ τί ἄν τις ἐν οὕτω βραχεῖ τὰ τοῦ περιωνύμου τεμένους
and why — anyone in so brief the of-the renowned sanctuary
λόγῳ πειρᾶται περιέρχεσθαι θαύματα; ὅπου γε οὐδ'
in-word tries to-go-around wonders where indeed not-even
αὐτὴ ἡ ὄψις οὐδ' ἐπὶ συχνὸν χρόνον, καίτοι τὰς ἄλλας
itself the sight not-even for long time although the other
αἰσθήσεις τῷ τάχει κατόπιν ἄγουσα, ἀντιλαβέσθαι τούτων
senses by-the speed behind leading to-grasp these
οὐδαμῶς ἐλέγχεται κατισχύουσα. Χαίρω γοῦν ἔγω γε
in-no-way is-proven prevailing I-rejoice at-any-rate I indeed
οὐδὲν ἧττον, εἰ καὶ τὸ ἔλαττον ὁ λόγος ἀπηνέγκατο, ἢ
in-nothing less if even the less the speech carried-off than
εἰ καὶ πρὸς αὐτὸ τὸ μέτρον τῆς ἱκανῶς ἐχούσης ἀφίκετο
if even to itself the measure of-the sufficiently holding it-arrived
διηγήσεως. Οὐ γὰρ τῆς ἐν λόγῳ δυνάμεως ἐπίδειξιν, ἀλλὰ
narrative not for of-the in speech power (a)-display but

τὸ κάλλιστόν τε εἶναι τὸν ναὸν καὶ ὡραιότατον, καὶ
the most-beautiful both to-be the temple and most-lovely and
νικῶντα νόμους ἐκφράσεως, παραστῆσαι προῄρημαι.
conquering (the)-laws of-description to-present I-have-chosen
Ἀλλά μοι πρὸς σὲ ὁ τοῦ λόγου δρόμος, τὸν τοῦ συλλόγου
but for-me toward you the of-the speech course the of-the assembly
αἴτιον, ἐπιστρεφόμενος ἰθυνέσθω. Χαῖρε τοιγαροῦν, ὦ βασιλεῦ
cause turning let-be-steered hail therefore O emperor
θεωχαρίτωτε καὶ θεοφιλέστατε, καὶ ἀνακαινίζου τὴν κατά
God-graced and most-God-beloved and renew the in
τε σῶμα καὶ ψυχὴν ἐπ᾽ ἔργοις ἀγαθοῖς ἀκμάζων νεότητα·
both body and soul in works good flourishing youth
τοῦ τε περιωνύμου ναοῦ, καὶ τῆς σῆς σοφίας ἔργων καὶ
of-the both renowned temple and of-the your wisdom of-works and
χειρὸς ἑορτάζων τὰ ἐγκαίνια. Ἔντεινε, καὶ κατευοδοῦ, καὶ
of-hand celebrating the dedication bend(-your-bow) and prosper and
βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης.
reign because-of truth and meekness and righteousness
Ὁδηγεῖ γὰρ, ὡς ἔνεστιν ἰδεῖν ἐναργῶς, καὶ ὁδηγήσει σε ἡ
guides for as (it)-is(-possible) to-see clearly and will-guide you the
τοῦ Ὑψίστου δεξιὰ τοῦ κτίσαντός σε, καὶ ἐξ αὐτῶν
of-the Most-High right-hand of-the(-one) having-created you and from very
σπαργάνων εἰς βασιλέα τοῦ οἰκείου καὶ περιουσίου λαοῦ
swaddling-clothes as emperor of-the own and peculiar people
χρίσαντος. Συνευφραίνου καὶ συνανακαινίζου καὶ αὐτὸς,
having-anointed rejoice-with(-him) and be-renewed-with(-him) also yourself
τῶν ὅσους ἥλιος ἐπεῖδε Καισάρων τὸ ἐγκαλλώπισμα,
of-the as-many-as (the)-sun looked-on Caesars the ornament
σοφίᾳ τε καὶ συνέσει τοὺς ἔμπροσθεν παρευδοκιμῶν·
in-wisdom both and understanding the(-ones) before surpassing
καὶ τῷ θείᾳ σε ψήφῳ, ἀλλὰ μὴ σπουδαρχήσαντα,
and by-the divine you vote but not having-canvassed

μηδ᾽ ἀνθρωπίναις περιδρομαῖς τὴν τηλικαύτην ἀρχὴν
nor by-human intrigues the so-great rule
ἀναδέξασθαι. Συνευφραίνου τοίνυν καὶ συνανακαινίζου τῷ
to-have-received rejoice-with therefore and be-renewed-with the(-one)
μέτοχόν σε προσειληφότι καὶ κοινωνὸν τῆς βασιλείας
(as)-partner you having-taken-to-himself and sharer of-the kingship
ἐπὶ κοινῇ τε σωτηρίᾳ τῶν ἀρχομένων, καὶ ἀξίως τῆς
for common both salvation of-the ruled and worthily of-the
εἰς αὐτὸν εὐνοίας καὶ ἀψευδεστάτης ἀγαπήσεως. Διὰ
toward him goodwill and most-unfeigned love through
γὰρ τῆς ὑμετέρας δυάδος ἡ Τριὰς εὐσεβῶς λατρευομένη
for the your pair the Trinity piously worshiped
τε καὶ προσκυνουμένη, τὴν ἑαυτῆς πρόνοιαν εἰς πάντας
both and adored the of-itself providence to all
ἐξαπλοῦσά τε καὶ διαπορθμεύουσα, σοφῶς πηδαλιουχεῖ
spreading-out both and ferrying wisely steers
καὶ διακυβερνᾷ τὸ ὑπήκοον.
and governs the subject(-people)
Χαίρετε καὶ ὑμεῖς, ὦ τῆς βουλῆς Πατέρες, πολιὰ σεμνὴ
hail also you O of-the senate Fathers gray-hair solemn
καὶ αἰδέσιμος, πιστῷ καὶ μεγάλῳ βασιλεῖ καὶ
and venerable with-(the)-faithful and great emperor and
σεβαστῷ, συνανακαινιζόμενοι Καίσαρι, τοῦ περιωνύμου
august being-renewed Caesar of-the renowned
ναοῦ συνεορτάζοντι τὰ ἐγκαινίσματα. Χαίρει δὲ καὶ
temple celebrating-with the dedication rejoices and also
συνευφραίνεται καὶ ὅσον ἱεροφαντικόν τε καὶ ἀρχιερέων
is-gladdened-with and as-much-as (is)-hierophantic both and of-high-priests
πλήρωμα, οἰκεῖον κλέος καὶ καύχημα τὴν τοῦ ναοῦ
(the)-fullness (their)-own fame and boast the of-the temple
ποιούμενοι καθιέρωσιν· χαίρετε δὲ καὶ συγχορεύετε καὶ
making consecration hail and also dance-together also

ὑμεῖς, ὦ ὑπόλοιπον καὶ φιλόθεον ἄθροισμα, ἄλλον οὐρανὸν
you O remaining and God-loving gathering another heaven
ὁρῶντες ἐπὶ γῆς τὸν τῆς Παρθένου ναὸν ἐγκαινιζόμενον
seeing on earth the of-the Virgin temple dedicated
σήμερον· ἧς ταῖς πρεσβείαις τύχοιμεν ἅπαντες καὶ τῆς
today of-whom by-the intercessions may-we-obtain all also the
μακαρίας ἐκείνης καὶ ἀτελευτήτου χάριτος καὶ ἀγαλλιάσεως,
blessed that and endless grace and exultation
ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ
in Christ Jesus the Lord our to-whom the glory and
τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.
the might now and always and to the ages amen

ΠΡΟΣ ΜΙΧΑΗΛ ΤΟΝ ΑΡΧΟΝΤΑ ΒΟΥΛΓΑΡΙΑΣ

To Michael, Ruler of Bulgaria

Πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας

TO MICHAEL OF BULGARIA · I · THE CREED AND FOUR COUNCILS

Photius writes to Michael, ruler of Bulgaria, whom he calls his beloved son, that the greatest gift is the teaching of the true faith. He sets out the Creed, then the seven councils, and promises the virtues that must go with faith. The first council met at Nicaea with 318 bishops. Alexander of Constantinople led it with Alexander of Alexandria and his deacon Athanasius, Eustathius of Antioch, Macarius of Jerusalem, the legates of Silvester and Julius of Rome, Hosius of Cordoba, Paphnutius, and Spyridon; Constantine gathered them. They deposed Arius, an Alexandrian presbyter who made the Son a creature, and proclaimed the Son consubstantial with the Father. The second council, of 150 at Constantinople under Theodosius, condemned Macedonius for making the Spirit a servant and declared the Spirit worshiped and glorified with Father and Son. The third, at Ephesus, with Cyril holding Celestine's place, deposed Nestorius, who split Christ into two persons and would not call the Virgin God-bearer. The fourth, of 630 at Chalcedon under Marcian, met against Eutyches and Dioscorus, who confused Christ's two natures into one.

Αἱ μὲν ἄλλαι χάριτες, περιφανέστατε καὶ ἠγαπημένε 1
the indeed other favors most-illustrious and beloved
ἡμῶν υἱὲ, μικρὰς καὶ προσκαίρους, οἷς προσάγονται,
our son small and temporary to-whom they-are-brought
τὰς ὠφελείας παρέχουσιν· ὅσαι δὲ πεφύκασι ψυχὴν
the benefits provide as-many-as but are-by-nature (the)-soul
βελτίονα ἀπεργάζεσθαι, πλάνης μὲν καθαίρουσαι καὶ
better to-make from-error indeed cleansing and
παθῶν, τὴν αἴγλην δὲ καὶ λαμπρότητα τῶν ἀρετῶν καὶ
from-passions the radiance and also splendor of-the virtues and
τῆς ἀληθείας διαυγάζουσαι, αὗται δὲ ἄρα χάριτές εἰσιν,
of-the truth making-shine-through these and then favors are
ὡς ἀληθῶς, μεγάλα κέρδη καὶ ἀθάνατα ἀθανάτῳ καὶ
as truly great gains and immortal to-(an)-immortal and

θεοειδεῖ πράγματι χορηγοῦσαι, τῇ ψυχῇ, καὶ τὸν ἄσυλον
godlike thing supplying to-the soul and the inviolable
αὐτῇ καὶ οὐράνιον ἐμπορευόμεναι πλοῦτον, ὧν ἡ
for-it and heavenly purchasing wealth of-which the
τιμιωτάτη καὶ τῶν ἄλλων πρωτεύουσα χάρις ἡ πρὸς τὸ
most-precious and of-the others first favor the toward the
θεῖόν ἐστιν ἀπλανὴς καὶ σωτήριος χειραγωγία. Ἣν πρώτη
divine is unerring and saving guidance which first
καὶ μόνη χαρίζεται τῆς καθαρᾶς καὶ ἀμωμήτου πίστεως
and alone grants of-the pure and blameless faith
ἡμῶν τῶν Χριστιανῶν, ἡ μάθησις καὶ μυσταγωγία.
of-us the Christians the learning and initiation
2 Αὕτη γὰρ τῆς πολυμόρφου πλάνης τὸν ἄνθρωπον·....
this for from-the manifold error the man
τῷ κάλλει τῆς λατρείας καθαρῶς ἐνατενίζειν παρέχεται·
on-the beauty of-the worship purely to-gaze allows
δι' ἧς εἰς τὴν ὑπὲρ νοῦν οὐσίαν καὶ πάντων αἰτίαν
through which to the beyond mind being and of-all cause
καὶ δημιουργὸν ἀναγόμενοι, τὴν ἑνοειδῆ καὶ ὑπέρθεον τῆς
and creator led-up the one-formed and beyond-divine of-the
Τριάδος θεότητα καθ' ὅσον ἐστὶν ἀνθρώπῳ δυνατὸν,
Trinity godhead according-to as-much-as it-is for-man possible
ἐνοπτριζόμεθα. Τῆς τηλικαύτης τοίνυν χάριτος καὶ δωρεᾶς
we-behold-as-in-a-mirror of-the so-great therefore favor and gift
τὴν ἔμφρονά σου ψυχὴν εὑρηκότες ἀξίαν (ἐρᾷν γάρ σε
the prudent your soul having-found worthy to-love for you
ἀρετῆς καὶ εὐσεβείας πεπείσμεθα), τῷ φιλουμένῳ δώρῳ
virtue and piety we-are-persuaded with-the beloved gift
καὶ μεγαλοπρεπεῖ δεξιούμεθα. Ἐν ᾧ, τῆς ἀχράντου καὶ
and magnificent we-welcome(-you) in which of-the undefiled and
καθαρᾶς ἡμῶν πίστεως τὸ ἱερὸν καὶ θεόσοφον ἐντάξαντες
pure our faith the holy and God-wise having-set

μάθημα, τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους,
lesson the holy and ecumenical seven synods
οἱονεὶ χάρακάς τινας καὶ περιβόλους οὔσας τοῦ θείου
as-it-were palisades some and enclosures being of-the divine
τούτου καὶ ὀρθοδόξου μαθήματος, σαφεῖ τε καὶ συντόμῳ
this and orthodox lesson in-clear both and concise
λόγῳ συμπαρατιθέμεθα· οὐδ' ὅσα βίον ἰθύνει, καὶ μαρτυρεῖ
word we-set-beside nor what life directs and witnesses
τῆς πίστεως τὴν ὀρθότητα, παντελῶς ἀποσιγήσαντες.
of-the faith the correctness wholly having-passed-over-in-silence
Ὥσπερ γὰρ τὸ πάντα, καταρχὰς πειρᾶσθαι λέγειν,
as for the all(-things) at-the-outset to-try to-say
ἀπειρόκαλον· οὕτω καὶ τὸ μηδὲν εἰπεῖν, ἀφιλόκαλον.
(is)-tasteless so also the nothing to-say (is)-unlovely
Δεῖ δὲ τὰς ἀρετὰς τῇ πίστει παραπεπηγέναι, 3
(it)-is-needful and the virtues to-the faith to-have-been-fixed-beside
καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι. Καὶ γὰρ
and through both the earnest(-man) to-be-fitted and for
δογμάτων μὲν εὐθύτης πολιτείας προβάλλεται κοσμιότητα,
of-doctrines indeed straightness of-conduct puts-forward orderliness
πράξεων δὲ καθαρότης τῆς πίστεως ἀπαγγέλλει θειότητα·
of-deeds and purity of-the faith announces divineness
ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾳον εἴωθεν ὑποῤῥεῖν
of-which each without the other more-easily is-wont to-slip-away
καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον καταμόνας ψυχαῖς
and to-be-swept-aside not enduring alone in-souls
ἀνθρώπων ἐγκατοικίζεσθαι. Ἀλλὰ περὶ μὲν τούτων καὶ
of-men to-dwell but about indeed these(-things) also
ὕστερον. Νῦν δέ σοι τὸ ἱερὸν καὶ θεόχρηστον τῆς ἱερᾶς
later now and to-you the holy and God-given of-the holy
ἡμῶν λατρείας ἀνατιθέμεθα μάθημα.
our worship we-dedicate lesson

4 Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν
I-believe in one God Father almighty maker
οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.
of-heaven and of-earth of-visible both all(-things) and invisible
Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ
and in one Lord Jesus Christ the Son —
Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ
of-God the only-begotten the from the Father begotten before
πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ
all the ages light from light God true from
Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα· ὁμοούσιον τῷ
God true begotten not made consubstantial with-the
Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς
Father through whom the all(-things) came-to-be the(-one) for us the
ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα
men and for the our salvation having-come-down
ἐξ οὐρανῶν· καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ
from (the)-heavens and incarnate from (the)-Spirit holy and
Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα
Mary the Virgin and made-man crucified
τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ
also for us under Pontius Pilate and having-suffered and
ταφέντα. καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς
buried and having-risen on-the third day according-to the
Γραφὰς, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον
Scriptures and having-ascended into the heavens and seated
ἐν δεξιᾷ τοῦ Πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ
at (the)-right-hand of-the Father and again coming with
δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ
glory to-judge living and dead of-whose the kingdom not
ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον καὶ
will-be end and in the Spirit the holy the Lord and

ζωοποιὸν τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν
life-giver the(-one) from the Father proceeding the(-one) with
Πατρὶ καὶ Υἱῷ προσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ
Father and Son worshiped and glorified-together the(-one)
λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν ἁγίαν καθολικὴν
having-spoken through the prophets in one holy catholic
καὶ ἀποστολικὴν Ἐκκλησίαν, Ὁμολογῶ ἓν βάπτισμα εἰς
and apostolic Church I-confess one baptism for
ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν
remission of-sins I-await (the)-resurrection of-(the)-dead and (the)-life
τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.
of-the to-come age amen
Οὕτω τοιγαροῦν φρονῶν καὶ πιστεύων, κατὰ τὴν 5
thus therefore thinking and believing according-to the
παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς
tradition of-the holy — of-God catholic and apostolic
Ἐκκλησίας, ὦ καλὸν ἄγαλμα τῶν ἐμῶν πόνων, τὰς ἁγίας καὶ
Church O fair statue of-the my labors the holy and
οἰκουμενικὰς ἑπτὰ συνόδους, τὰς μὲν ὡς διδασκάλους, τὰς
ecumenical seven synods some indeed as teachers others
δὲ ὡς προμάχους τῆς εὐσεβείας ἀποδέχου καὶ περίεπε. Δι᾽
and as champions of-the piety receive and cherish through
αὐτῶν γὰρ πᾶσα καινοτομία καὶ αἵρεσις ἀπελαύνεται· τὸ
them for every innovation and heresy is-driven-away the
δὲ τῆς ὀρθοδοξίας ἀκήρατον καὶ ἀρχαιοπαράδοτον φρόνημα
and of-the orthodoxy pure and handed-down-of-old mind
ταῖς εὐσεβούντων ψυχαῖς εἰς ἀδίστακτον σεβασμιότητα
in-the of-(the)-pious souls into unwavering reverence
καθιδρύνεται, Ὧν ἀπάρχομαι τὴν ἀφήγησιν, καὶ τόπον, καὶ
is-established of-which I-begin the narration both place and

ἀριθμὸν τοῦ πλήθους, καὶ τοὺς ἀρχηγοὺς ἑκάστης, χάριν
number of-the multitude and the leaders of-each for-the-sake-of
εὐμαθίας, ταῖς οἰκείαις συνυποτυπούμενος πράξεσιν.
easy-learning with-the own sketching-together acts

6 Ἡ τοίνυν πρώτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος, ἐν τῇ
the therefore first and ecumenical holy synod in the
κατὰ Βιθυνίαν Νικαίᾳ συνεκροτήθη· ὀκτὼ καὶ δέκα δὲ
in Bithynia Nicaea was-convened eight and ten and
τριακόσιοι, θείων ἀρχιερέων ὁμήγυρις, τὴν τῆς ἀληθείας
three-hundred of-divine high-priests (a)-gathering the of-the truth
κρίσιν ἐνεχειρίζοντο. Ὧν ἦσαν προέχοντες, Ἀλέξανδρός
judgment were-entrusted-with of-whom were preeminent Alexander
τε, ὁ τὸν Κωνσταντινουπόλεως ἀρχιερατικὸν θρόνον
both the(-one) the of-Constantinople high-priestly throne
λαχὼν διευθύνειν· ἀνὴρ βαθείᾳ μὲν πολιᾷ,
having-obtained-by-lot to-direct (a)-man with-deep indeed gray-hair
παραπλησίῳ δὲ φρονήματι, σεμνυνόμενος, βίου δὲ
with-similar and mind dignified of-life and
λαμπρότητι καὶ ὁσιότητι γνώμης καὶ πίστεως ἀκριβείᾳ τὴν
by-splendor and holiness of-mind and of-faith by-exactness the
εἰς τὸ θεῖον παῤῥησίαν πολλὴν οἰκειούμενος· καὶ δὴ
toward the divine boldness much making-his-own and indeed
καὶ Σίλβεστρος, καὶ Ἰούλιος, τῆς Ῥωμαϊκῆς Ἐκκλησίας
also Silvester and Julius of-the Roman Church
ἐπίσημοί τε καὶ διαβόητοι πρόεδροι· αὐτῶν μὲν οὐδέτερος
notable both and famous presidents of-them indeed neither
παραγεγονώς. Βίτωνα δὲ καὶ Βικέντιον, ἑκάτερος ἀνθ’
having-been-present Vito and also Vincent each in-place-of
ἑαυτοῦ, κατὰ τὸν οἰκεῖον τῆς ἀρχιερατείας χρόνον,
himself according-to the own of-the high-priesthood time
τῇ κοινῇ παρεῖναι συνελεύσει προβαλλόμενοι, ἀνθρώπους
to-the common to-be-present gathering putting-forward men

ἀρετὴν τιμῶντας, καὶ εἰς τὸ τοῦ πρεσβυτερίου ἀξίωμα
virtue honoring and into the of-the presbyterate dignity
παραγγέλλοντας. Οἷς καὶ ὁ Κορδούβης Ἐπίσκοπος
advancing with-whom also the of-Cordoba Bishop
συνετέτακτο· ὃς κατὰ τοὺς Ἑλληνικοὺς διωγμοὺς τὴν κλῆσιν
had-been-ranked who in the Greek persecutions the name
ἐπαληθεύουσαν ἔδειξεν. Ὅσιος γὰρ ὀνομαζόμενος ἀβέβηλον
proving-true showed Hosius for being-named unprofaned
αὐτοῦ τὴν ὁμολογίαν τῆς εἰδωλικῆς λατρείας διετήρησεν.
his the confession from-the idolatrous worship he-kept
Ὁ μέντοι Ἀλεξανδρείας Ἀλέξανδρος, αὐτός τε παρῆν ἱεροῖς 7
the however of-Alexandria Alexander himself both was-present holy
ἐν διαπρέπων καθορθώμασιν· ἦγε δὲ συναγωνιστὴν
in being-conspicuous right-deeds he-brought and (as)-fellow-contender
ἑαυτῷ καὶ Ἀθανάσιον, ὃς τότε μὲν τοῦ τάγματος τῶν
with-himself also Athanasius who then indeed of-the order of-the
διακόνων ἡγεῖτο· μετ᾽ οὐ πολὺ δὲ, καὶ τοῦ ἀρχιερατικοῦ
deacons was-leader after not long and also of-the high-priestly
θρόνου κατέστη διάδοχος. Ναὶ δὴ καὶ ὁ κλεινὸς
throne was-made successor yes indeed also the famous
Εὐστάθιος συμπαρῆν, τῆς Ἀντιοχέων ἐκκλησίας τὸ
Eustathius was-present-with(-them) of-the of-Antiochenes church the
ἐγκαλλώπισμα, πίστεως μὲν ἐναστράπτων καθαρότητι,
ornament of-faith indeed shining by-purity
λόγων δὲ καὶ νοημάτων σωφροσύνῃ θαυμαζόμενος. Μεθ᾽
of-words and also of-thoughts by-soundness admired with
ὧν καὶ ὁ Ἱεροσολύμων Μακάριος, πολλαῖς ἰδέαις
whom also — of-Jerusalem Macarius in-many forms
ἀρετῶν ἐνευθηνούμενος· ἄλλοι τε πλεῖστοι ἀποστολικοῖς
of-virtues abounding others both very-many with-apostolic
χαρίσμασι καὶ μαρτυρικοῖς παθήμασι διαλάμποντες. Ὧν
gifts and with-martyrs' sufferings shining-through of-whom

Παφνούτιος, καὶ Σπυριδίων, Ἰάκωβός τε, καὶ Μάξιμος,
Paphnutius and Spyridon James both and Maximus
ἀγαθοῦ καὶ θαυμασίου συστήματος ἀγαθοὶ καὶ θαυμάσιοι
of-(a)-good and wonderful company good and wonderful
πρωτοστάται ἐγνωρίζοντο, Ἐφ' οἷς ἅπασιν, καὶ ὁ μέγας
front-rank-men were-known besides whom all also the great
καὶ ἀξιάγαστος Κωνσταντῖνος, τῆς Ῥωμαϊκῆς ἀρχῆς
and admirable Constantine of-the Roman rule
ἰθύνων τὰ σκῆπτρα, διέπρεπε, τήν τε σύνοδον ἀθροίζων,
directing the scepters was-conspicuous the both synod assembling
καὶ λαμπροτέραν τῇ παρουσίᾳ ἀπεργαζόμενος.
and more-splendid by-the presence making(-it)

8 Ἀλλ' ἐκ τοσούτων μὲν καὶ τοιούτων ὁ ἱερὸς ἐκεῖνος
but from so-many indeed and such the holy that
συνίστατο σύλλογος. Ἄρειόν τινα νεωτεροποιὸν δυσσεβείας
was-composed assembly from-Arius (a)-certain innovator of-impiety
δίκας εἰσπραττόμενος, καὶ τὸ ἀποστολικὸν καὶ θεῖον
penalties exacting and the apostolic and divine
κρατύνοντες κήρυγμα. Ἦν δ' οὗτος ὁ δείλαιος ἕλκων
strengthening proclamation was and this the wretched(-man) drawing
μὲν τὸ γένος ἐκ τῆς Ἀλεξάνδρου, εἰς κλῆρον δὲ
indeed the race from the(-city) of-Alexander into (the)-clergy and
καταλεγεὶς τῆς ἐκεῖσε Ἐκκλησίας, καὶ εἰς πρεσβυτέρου
enrolled of-the there Church and to of-presbyter
βαθμὸν ἀνελθὼν, πρότερον μὲν κατὰ τοῦ ἰδίου ποιμένος
rank having-gone-up first indeed against the own shepherd
ὑπερήφανον ἀνέλαβε φρόνημα, ἐκεῖθεν δὲ κατὰ τοῦ κοινοῦ
(an)-arrogant took-up spirit from-there and against the common
ποιμένος καὶ Δεσπότου παρέτεινε τὴν ἀπόνοιαν· τὸν γὰρ
shepherd and Master he-extended the madness the for
Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ (ὢ τῆς τολμηρᾶς ἐκείνης
Son and Word — of-God O(-for) the daring that

καὶ γλώττης καὶ διανοίας!) εἰς κτίσμα καὶ ποίημα
both tongue and mind to (a)-creature and (a)-thing-made
κατεβίβαζεν, οὐδὲ τοῦτο συνιδεῖν ἐθέλων, κοινὸν ὑπάρχον
he-brought-down not-even this to-perceive willing common being
πᾶσι καὶ αὐτοδίδακτον ὁμολόγημα, ὡς ἅπας Υἱὸς τῆς αὐτῆς
to-all and self-taught confession that every Son of-the same
ἐστι τῷ γεγεννηκότι οὐσίας καὶ φύσεως· καὶ ὁ
is with-the(-one) having-begotten being and nature and the(-one)
τὸν Υἱὸν τάττων ἐν κτίσμασι, καὶ τὸν Πατέρα κτίσμα
the Son ranking among creatures also the Father (a)-creature
προανηγόρευσεν· ὥσπερ ὁ τὸν Πατέρα δημιουργικῆς
has-proclaimed-beforehand as the(-one) the Father of-creative
οὐσίας καὶ ἀϊδίου φύσεως εἰδὼς, τῆς αὐτῆς εἶναι καὶ τὸν
being and eternal nature knowing of-the same to-be also the
Υἱὸν συνανομολογήσειεν. Ποῦ δ' ἂν εἴη τὸ γνήσιον τῆς
Son would-confess-together where and — would-be the genuineness of-the
υἱότητος, ἄλλης μὲν οὐσίας τοῦ Πατρὸς, ἑτέρας δὲ τοῦ
sonship of-another indeed being the Father of-a-different and the
Υἱοῦ χρηματίζοντος; Πῶς δ' οὐ τῆς Ἑλληνικῆς πλάνης
Son being-styled how and not of-the Greek error
ἀνακύψει τὸ πολύθεον, εἰς ἐλάττω καὶ μείζω οὐσίαν
will-raise-its-head the polytheism into lesser and greater being
τεμνομένης τῆς θεότητος, καὶ τῆς μὲν εἰς πρῶτον καὶ
cut the godhead and the(-one) indeed into (a)-first and
δημιουργὸν καὶ πρεσβύτερον Θεὸν ἀφοριζομένης, τῆς
creator and elder God set-apart the(-other)
δὲ εἰς δεύτερον Θεὸν διακρινομένης καὶ ὑπουργὸν καὶ
and into (a)-second God distinguished and subordinate and
νεώτερον; ταῦτα γὰρ τῆς τοῦ Ἀρείου πονηρᾶς σπορᾶς τὰ
younger these for of-the — of-Arius wicked sowing (are)-the
γεννήματα. Ἀλλὰ τοῦτον μὲν, ὡς χείλη βλάσφημα κατὰ
offspring but him indeed as lips blasphemous against

τοῦ πεποιηκότος ὁπλισάμενον, τῆς ἱερωσύνης ὁ ἱερὸς
the(-one) having-made(-him) having-armed of-the priesthood the holy
ἀπεγύμνωσεν ὅμιλος· τὴν δὲ δυσσεβεστάτην καὶ θεομάχον
stripped company the but most-impious and God-fighting
αὐτοῦ αἵρεσιν τῷ ἀναθέματι καθυπέβαλεν· ὁμοούσιον δὲ,
his heresy to-the anathema it-subjected consubstantial and
καὶ ὁμοφυῆ, καὶ συναΐδιον τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ
also of-one-nature and co-eternal the Son and Word — of-God
τῷ γεγεννηκότι Πατρὶ, καὶ τῆς αὐτῆς ἐξουσίας καὶ
with-the having-begotten Father and of-the same authority and
κυριότητος, ὡς οἱ θεῖοι χρησμοὶ, καὶ τῶν εὐσεβούντων
lordship as the divine oracles and of-the pious
τὰ κοινὰ δόγματα, ἱερολογήσαντες διετράνωσαν· καλῶς
the common doctrines having-sacredly-declared proclaimed well
εἰδότες, ὅτι ὥσπερ τὸ εἰς ἓν συγκλείειν πρόσωπον τὴν
knowing that as the into one to-shut-up person the
τριαδικὴν μοναρχίαν καὶ κυριότητα Ἰουδαϊκόν ἐστι καὶ
triadic monarchy and lordship Jewish is and
μισόχριστον, οὕτω καὶ τὸ κατατέμνειν εἰς ἀνίσους φύσεις
Christ-hating so also the to-cut-up into unequal natures
καὶ ἀνομοίους οὐσίας τὴν ὑπερούσιον καὶ ὑπερφυῆ καὶ
and unlike beings the superessential and supernatural and
ἐνιαίαν θεότητα Ἑλληνικὸν ὑπάρχει καὶ πολύθεον. Ἀλλ'
single godhead Greek is and polytheistic but
ἐν τούτοις μὲν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη Σύνοδος.
in these indeed the holy and ecumenical first Synod
9 Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος τῶν μὲν
the and holy and ecumenical second synod of-the indeed
ἱερῶν φροντισμάτων τὴν βασιλίδα πόλιν ἱερὸν ἐδείκνυ
holy cares the queen city (a)-holy showed
φροντιστήριον· εἰς πεντήκοντα δὲ καὶ ἑκατὸν ἄνδρας
school to fifty and also hundred men

ἱεροὺς συνηγείρετο ἐξάρχους ἔχουσα Τιμόθεόν τε τὸν
holy was-gathered leaders having Timothy both the(-one)
Ἀλεξανδρείας, καὶ τὸν ἀξιοθαύμαστον τῆς Ἀντιοχείας
of-Alexandria and the admirable — of-Antioch
Μελέτιον. Κύριλλόν τε τῶν Ἱεροσολύμων, τοὺς ἱεραρχικοὺς
Meletius Cyril and — of-Jerusalem the hierarchical
θρόνους ἰθύνοντας· καὶ δὴ καὶ Νεκτάριον, ὃς ἄρτι
thrones directing and indeed also Nectarius who just-now
τῆς τῶν κατηχουμένων ἀγέλης ἀφορισθεὶς, καὶ τῷ
from-the of-the catechumens flock separated and in-the
θείῳ λουτρῷ τὸν τοῦ βίου ῥύπον ἀποπλυνάμενος, καθαρὸς
divine bath the of-the life filth having-washed-off pure
ἤδη, τὸ καθαρώτατον τῆς ἱεραρχίας ἀξίωμα περιβάλλεται,
already the purest of-the hierarchy dignity is-clothed-with
ψήφῳ μὲν κοινῇ τῆς συνόδου, χειροθεσίᾳ δὲ τῶν
by-vote indeed common of-the synod by-laying-on-of-hands and of-the
προκρίτων· καὶ ἅμα τε τῆς βασιλευούσης ἐπίσκοπος, καὶ
chosen and at-once both of-the reigning(-city) bishop and
τῆς συνόδου ἐχρημάτιζεν ἔξαρχος. Μεθ' ὧν Γρηγόριος, ὅ
of-the synod was-styled leader with whom Gregory the
τε τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ ὁ τῆς
both — in Cappadocia of-Nyssa bishop and the(-one) of-the
Θεολογίας ἐξ ἔργων ἐπώνυμος. Οἷς, οὐ πολὺς χρόνος
Theology from works named to-whom not much time
καὶ Δάμασος, ὁ τῆς Ῥώμης, τὰ αὐτὰ κρατύνων,
and Damasus the(-one) — of-Rome the same strengthening
ἐγνωρίζετο, σύμφωνος τοῖς προλαβοῦσι καθιστάμενος.
was-known in-agreement with-the(-ones) having-gone-before being-established
Οὗτος δὴ οὖν ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα, τὸν 10
this indeed then the hierophant choir Macedonius (a)-certain the
Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον,
of-Constantinople throne (a)-plunder long-ago having-made

ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν ἐδυσφήμει Πνεῦμα, εὐθύνας
because the all-holy and life-originating he-defamed Spirit account
ἐδικαίου δοῦναι. Ὡς γὰρ Ἄρειος κατὰ τοῦ Υἱοῦ, οὕτω καὶ
deemed-right to-give as for Arius against the Son so also
αὐτὸς κατὰ τοῦ παναγίου παραταττόμενος Πνεύματος, εἰς
he-himself against the all-holy arraying-himself Spirit into
δούλους καὶ ὑπηρέτας τὴν δεσποτικὴν καὶ ὑπερκειμένην
slaves and servants the masterly and transcendent
αὐτοῦ συνέταττε κυριότητα. Καί τοι ῥᾷον ἦν, εἴπερ
its ranked lordship and yet easier it-was if-indeed
ἐβούλετο, τῷ ἀθλίῳ συνορᾶν, ὅτι, καθάπερ οἱ
he-wished for-the wretched(-man) to-perceive that just-as the(-ones)
τὸν Υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν οὐδὲν ἧττον
the Son into (a)-creature ranking the outrage in-nothing less
προσάπτουσι τῷ Πατρὶ, οὕτω καὶ οἱ τὸ πανάγιον
attach to-the Father so also the(-ones) the all-holy
αὐτοῦ Πνεῦμα τοῖς ποιήμασιν ἐναριθμοῦντες, τὴν ἴσην
his Spirit among-the things-made numbering the equal
καὶ ὁμοίαν βλασφημίαν ἀφιᾶσι κατ᾽ αὐτοῦ. Εἰ γὰρ τὸ
and like blasphemy let-loose against him if for the
Πνεῦμα, κτίσμα, κἀκεῖνος οὗ τὸ Πνεῦμα, μετὰ τῶν
Spirit (is-a)-creature that(-one)-too of-whom the Spirit (is)-with the
κτισμάτων. Εἰ δὲ καὶ ἀκοαῖς ἀφόρητον ἡ τῆς ἀθεότητος
creatures if and even to-ears unbearable the of-the godlessness
ταύτης ὑπερβολὴ, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο
this excess how not understood the wretched(-man) that
φεύγειν, δι᾽ οὗ πρὸς τούτους ἀνάγκη πεσεῖν τοὺς
to-flee through which into these (it-is)-necessary to-fall the
θεομάχους λογισμούς; Ἀθετεῖς τὸ Πνεῦμα εἶναι Θεόν; πῶς
God-fighting reasonings do-you-deny the Spirit to-be God how
ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ, κρύφιον ἀπ᾽ αὐτοῦ; πῶς ἐστιν
searches-it the depths — of-God hidden from him how is-it

ἄλλος παράκλητος; πῶς συντάττεται Πατρὶ καὶ Υἱῷ;
another paraclete how is-it-ranked-with Father and Son
Πορευθέντες γὰρ, αὐτός φησιν ὁ Υἱὸς, μαθητεύσατε πάντα
having-gone for he-himself says the Son make-disciples all
τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς,
the nations baptizing them into the name of-the Father
καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἰ ἕν τι
and of-the Son and of-the holy Spirit if one something
τῶν τριῶν κτίσμα, ἐν οἷς φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ
of-the three (be-a)-creature in which we-are-illumined not-even the rest
καθαρεύσει τῆς ὕβρεως. Ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς
will-be-clean of-the outrage but if (a)-creature how creates-it how
ἁγιάζει; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ
sanctifies-it how gives-it-life how divides-it gifts how and
Θεός; ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νοῦν
(is-it)-God but of-these nothing that the deranged(-man) to mind
βαλλόμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου
laying from-the monarchic it and one undivided
θεότητος διασπᾷν τὸ Πνεῦμα ἐτόλμα καὶ ἀπεθρασύνετο.
godhead to-tear-away the Spirit dared and grew-insolent
Διὸ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπιχείρια,
therefore also of-the impiety worthy he-has-received the wages
αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθεὶς, καὶ πάντες
himself both by-removal from-the priesthood punished and all
ὅσοι τῆς αὐτοῦ θεομαχίας τὸ ἀνίατον παρεζήλωσαν.
as-many-as of-the his God-fighting the incurable(-thing) emulated
Καὶ ὡς ἐκεῖνος τὸ πανάγιον Πνεῦμα τῆς τριαδικῆς
and as that(-man) the all-holy Spirit from-the triadic
μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφρυάττετο,
one godhead both and lordship to-estrange snorted
οὕτως αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος καὶ τῆς
so him the holy and ecumenical synod both from-the

ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας
priesthood and from-the of-the faithful portion and fellowship
οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον. Τὸ δὲ πανάγιον καὶ
as (a)-second estranged Arius the and all-holy and
ζωαρχικὸν Πνεῦμα, ἅ τε δὴ ὁμοφυὲς καὶ ὁμοούσιον,
life-originating Spirit inasmuch-as — indeed of-one-nature and consubstantial
ἰσοσθενές τε καὶ παντοδύναμον, τῷ Πατρὶ καὶ τῷ
equal-in-strength both and almighty with-the Father and the
Υἱῷ συμπροσκυνεῖσθαι καὶ συνδοξολογεῖσθαι, κατὰ
Son to-be-worshiped-with and to-be-glorified-with according-to
τὰς πατρικάς τε καὶ θεολογικὰς φωνὰς, ἀνεκήρυξαν·
the paternal both and theological voices they-proclaimed
ἐκθερίσαντες τέλεον καὶ εἴ τι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον
having-reaped completely also if any of-the Arian sowing tare
ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας
grew-up then and the of-the kingship reins the great
ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο
as truly and of-great praise worthy put-on
Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος.
Theodosius (a)-champion also himself of-the piety known
Ἀλλ᾽ ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία σύνοδος.
but in these indeed also this the holy synod
11 Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη σύνοδος ἐν μὲν τῇ
the and holy and ecumenical third synod in indeed the
κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη· εἰς διακοσίους δὲ
in — Asia Ephesus was-convened to two-hundred and
ἐπληθύνετο. Ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο, Κύριλλός τε
was-increased among whom leaders were-known Cyril both
ὁ ἐν πατράσι περιώνυμος, ὃς δι᾽ ἀρετὴν καὶ
the(-one) among (the)-fathers renowned who because-of virtue and
σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων
of-wisdom wealth of-the of-Alexander great-city directing

τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν
the throne also — of-Rome of-Celestine the seat
ἀνεπλήρου καὶ τὸ πρόσωπον. Μεθ' ὧν καὶ Μέμνων, ὁ
filled and the person with whom also Memnon the(-one)
τῆς Ἐφεσίων ἐκκλησίας ἐμπεπιστευμένος τοὺς οἴακας· καὶ
of-the of-Ephesians church entrusted-with the helms and
δὴ καὶ ὁ τῶν Ἱεροσολύμων, Ἰουβενάλιος. Οἵτινες
indeed also the(-one) — of-Jerusalem Juvenal who
σὺν παντὶ τῷ τῆς συνόδου πληρώματι, τὸν δυσσεβῆ
with all the of-the synod fullness the impious
Νεστόριον, ὧν ἠσέβει, δίκας εἰσεπράττοντο. Ὃς ἐκ
Nestorius for-what he-was-impious penalties exacted who from
τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀρόντῃ, ὁρμώμενος, τὸν
the(-city) of-Antiochus the(-one) by the Orontes setting-out the
Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐγκεχείριστο.
of-Constantinople throne not holily had-been-entrusted-with
Ἀλλ' ὅγε ταλαίπωρος οὗτος, ἐκ τῶν Διοδώρου καὶ
but he wretched(-man) this from the of-Diodore and
Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας ναμάτων, καὶ
of-Theodore turbid of-the impiety having-gulped streams and
εἰς φρενὼν μέθην ἐμπεσὼν, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς,
into of-wits drunkenness having-fallen discordant and outlandish words
ἐπὶ λύμῃ τοῦ ποιμνίου, πολλῶν ἀκοαῖς ἐναπηρεύξατο.
for (the)-ruin of-the flock of-many into-(the)-ears belched-out
Χριστὸν γὰρ, τὸν ἕνα Θεοῦ Υἱὸν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν,
Christ for the one of-God Son the true God our
ὃς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς, ἡμῖν
who for us and for the our salvation of-flesh with-us
παραπλησίως, κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ
likewise having-shared and of-blood and into himself the
ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε
our having-taken-up lump one from two was-styled

τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων καὶ ἄνθρωπος· εἷς
of-the opposites God the same being and man one
Χριστὸς, εἷς Υἱὸς, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ
Christ one Son the same above from (the)-Father motherless and
κάτω ἐκ μητρὸς ἀπάτωρ· ὁ αὐτὸς καὶ οὐκ ἄλλος· ἓν
below from (a)-mother fatherless the same and not another one
πρόσωπον, μία ὑπόστασις. Τοῦτον δὴ τὸν ἕνα, Κύριον
person one hypostasis this indeed the one Lord
ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, εἰς δύο τέμνειν καὶ διαιρεῖν
our Jesus — Christ into two to-cut and to-divide
ὑποστάσεις, ὁ τρισάθλιος ἐκεῖνος οὐ πεφρικὼς, τὸν μὲν
hypostases the thrice-wretched that(-man) not shuddering the indeed
ψιλὸν ἄνθρωπον, καὶ χωρὶς τοῦ προσλαβόντος Λόγου, κατ᾽
mere man even without the having-assumed(-him) Word in
ἰδίαν ὑπόστασιν, ἔπλαττε, τὸν δὲ Θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν
own hypostasis he-fashioned — and God by part and bare
τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μή τι Θεὸς
of-the assumed(-nature) as fearing the senseless(-man) lest — God
πάθοι, τὸ οἰκεῖον πλάσμα δι᾽ ἄφατον φιλανθρωπίαν,
should-suffer the own molding through unspeakable love-of-mankind
εἰς θεραπείαν, καὶ ἀνάπλασιν ὑποδυόμενος. Οὐδὲ τοῦτο
for healing and remolding entering nor this
συνιδὼν, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου
perceiving that by-what the human nature from-the of-the Word
ἐδίχαζεν ὑποστάσεως, ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον
he-divided hypostasis incurable it and unhealable
ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίγνετο. Ἀλλὰ
he-proclaimed and of-the own denier salvation became but
γὰρ, τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφεὶς, οὐδὲ
for the reasonings wholly from these perverted not-even
τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν Παρθένον,
the his according-to flesh mother the all-holy Virgin

τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον
the(-one) properly and truly — God Word incarnate
τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν Θεοτόκον ἠνέσχετο· ἀλλ'
having-borne not-even her to-call God-bearer did-he-endure but
ὥσπερ τὸν Υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου
as the Son he-deprived of-the godhead so he-estranged
καὶ τὴν γεννησαμένην τῆς Θεοτόκου κλήσεως.
also the(-one) having-borne(-him) from-the of-God-bearer name
Δι' ὃ τοῦτον, ἀξίως τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς 12
because-of which him worthily of-the so-great madness and of-the
βλασφήμου γλώσσης, τῶν μακαρίων πατρῶν ὁ σύλλογος
blasphemous tongue of-the blessed fathers the assembly
πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ
of-all both priesthood stripped and with the own
καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψαν
and most-abominable mind to-the eternal they-sent
ἀναθέματι. Τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν μιᾷ καὶ
anathema the and Lord our Jesus Christ in one and
τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως καὶ ὁσιοπρεπῶς
the same hypostasis according-to-the-fathers'-tradition and holily
προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως
to-be-worshiped and to-be-proclaimed having-decreed consequently
καὶ τὴν πανάχραντον αὐτοῦ καὶ Ἀειπαρθένον μητέρα
also the all-undefiled his and Ever-virgin mother
κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι Θεοτόκον
properly and truly to-be-called and to-be-acclaimed God-bearer
παραδεδώκασιν. Οἷς γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ γεννηθῆναι
they-have-banded-down by-what for — God Word in-flesh to-be-born
καταδεξάμενον, τέτοκεν, Θεοτόκος ἐνδίκως δοξολογεῖσθαι
having-consented she-bore (as)-God-bearer justly to-be-glorified
καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν
and to-be-named she-has-been-consecrated but upon these indeed

καὶ αὕτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν νέον Θεοδόσιον
also this(-synod) the end has-had when the young Theodosius
ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν
the Roman commonwealth with-calm saw eyes the
πατρῴαν καὶ βασίλειον ἀρχὴν ἐκ τριγονίας διανύοντα.
ancestral and imperial rule from (the)-third-generation accomplishing
13 Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη σύνοδος, τὸν
the and holy and ecumenical fourth synod the
ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα
and useful other but gold and silver of-the
κατορθωμάτων τὰ τίμια. Ταῦτα γὰρ καὶ περὶ πειρασμῶν
right-deeds the precious(-things) these for also about temptations
δοξαζόμενα, καθαρώτερα καὶ τιμιώτερα διαδείκνυται.
glorified purer and more-precious are-shown
25 Οὕτω Χριστὸς ὁ κοινὸς Δεσπότης ἐγκελεύεται καρποὺς
thus Christ the common Master commands fruits
προβάλλειν, καὶ μὴ καταισχύνειν τὴν πίστιν διὰ
to-put-forth and not to-shame the faith through
τῶν πράξεων. Οὕτω Παῦλος ὁ μέγας τῆς Ἐκκλησίας
the deeds thus Paul the great of-the Church
συμβουλεύει διδάσκαλος. Οὕτω Πέτρος ὁ κορυφαῖος
counsels teacher thus Peter the chief
τῶν ἀποστόλων, καὶ τῶν οὐρανίων πυλῶν τὰς κλεῖς
of-the apostles and of-the heavenly gates the keys
ἐμπεπιστευμένος καὶ τὴν εἴσοδον· οὕτω τῶν λοιπῶν
entrusted-with and the entrance thus of-the remaining
ἀποστόλων ὁ θεῖος χορὸς τὴν οἰκουμένην ἐμαθήτευσεν·
apostles the divine choir the world made-disciples
οὕτως ἡμῶν οἱ Πατέρες παρειλήφασιν, οὕτως ἡμῖν,
thus our the Fathers received thus to-us
τοῖς μετ᾽ ἐκείνους, παραδεδώκασιν· οὕτω καὶ ἡμεῖς σοι
the(-ones) after them handed-down thus also we you
παραινοῦμεν καὶ συμβουλεύομεν, ἀρεταῖς κοσμεῖν τὴν πίστιν,
exhort and counsel with-virtues to-adorn the faith
καὶ τῇ πίστει τὰς ἀρετὰς λαμπροτέρας ἀπεργάζεσθαι.
and by-the faith the virtues more-splendid to-make
Ἐβουλόμην αὐτὸς ἐγώ σοι παρεῖναι, καὶ ταῖς πράξεσιν
I-could-wish myself I with-you to-be-present and over-the deeds

ἐφιστάναι, ἵνα τῶν μὲν καλῶν ἔργων αὐτεπάγγελτον διὰ
to-preside that of-the indeed good works self-announced through
τῆς ὄψεως λαμβάνων τὴν γνῶσιν, ἔτι μᾶλλον ἐν εὐθυμίᾳ
the sight receiving the knowledge still more in good-cheer
καὶ χαρᾷ διακείμενος εἴην· εἰ δέ τι καὶ παράλογον
and joy disposed I-might-be if but anything also unreasonable
συνέβη, μεθέλκειν ἔχοιμι ῥᾳδίως καὶ μεθαρμόζειν, ἐκ
happened to-draw-back I-might-be-able easily and to-readjust from
τοῦ παραχρῆμα, πρὸς διόρθωσιν. Ἐπεὶ δὲ ἡ βούλησις τῆς
the at-once toward correction since and the wish of-the
δυνάμεως χηρεύει, καὶ πολλὰ τὴν ὁρμὴν ἀνακόπτοντα
power is-bereft and many(-things) the impulse checking
κωλύει, ὃ μοι λοιπόν ἐστι δυνατὸν, γραφῇ τυπῶσαι τὰς
hinder what to-me for-the-rest is possible in-writing to-shape the
παραινέσεις, ὡς καὶ καταρχὰς ὑπεσχόμην, ἤδη πειράσομαι.
exhortations as also at-the-outset I-promised now I-will-try
Ὅτι μὲν οὖν χρὴ τὸ Θεῖον εἰλικρινῶς ἀγαπᾷν καὶ 27
that indeed then (it)-is-needful the Divine sincerely to-love and
θεραπεύειν, καὶ τὸ ὁμόφυλον ὡς ἑαυτὸν στέργειν καὶ φιλεῖν,
to-serve and the kindred as oneself to-cherish and to-love
ἔμφυτός πως τοῖς ἀνθρώποις ἡ γνῶσις καθέστηκεν· ἡ
innate somehow to-the men the knowledge has-become the
βούλησις δὲ μὴ συντρέχουσα τῇ γνώσει, εἰς θέσπισμα καὶ
will but not running-with the knowledge into (a)-decree and
νόμον ἀναγραφῆναι τὴν κοινὴν ἐξεβιάσατο γνώμην. Ὅτι
law to-be-written-up the common forced judgment that
δὲ ὁ τοῦ Θείου εἰλικρινὴς ἔρως, καὶ ἡ τοῦ πλησίον
and the of-the Divine sincere love and the of-the neighbor
στοργὴ καὶ τελεία ἀγάπη, τῶν ἄλλων ἐντολῶν ἐν ἑαυταῖς
affection and perfect love of-the other commandments in themselves
περιέχουσι τὰς πράξεις, οὐ χαλεπὸν μὲν καὶ αὐτόθεν
contain the deeds not hard indeed also at-once

κατανοῆσαι. Παρίστησι δὲ τοῦτο καὶ ὁ Δεσποτικὸς λόγος,
to-perceive presents and this also the Master's word
ἐν οἷς φησι περὶ αὐτῶν, Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς
in which he-says about them on these the two commandments
ὅλος ὁ νόμος κρέμαται, καὶ οἱ προφῆται. Καὶ γὰρ ὁ
whole the law hangs and the prophets and for the(-one)
τὸν θεῖον ἔρωτα ἐνστερνισμένος, καὶ τὸν πλησίον ὡς ἑαυτὸν
the divine love having-embraced and the neighbor as himself
στέργων καὶ φιλῶν, πατέρα μὲν καὶ μητέρα διαφερόντως
cherishing and loving father indeed and mother especially
ἀγαπήσει, καὶ τιμῆς τῆς πρώτης, μετά γε Θεὸν,
will-love and of-honor the first after indeed God
ἀξιώσει· αἱμάτων δὲ ἐμφυλίων καὶ φόνων οὐ μόνον τὰς
will-deem-worthy from-bloods and kindred and murders not only the
χεῖρας καθαρὰς φυλάξει, ἀλλὰ καὶ τὴν γλῶσσαν καὶ τοὺς
hands pure he-will-keep but also the tongue and the
λογισμοὺς μελέτης τοιαύτης· οὐ μὴν οὐδὲ κλέψειεν οὗτος·
thoughts from-study such not indeed not-even would-steal this(-man)
οὐδεὶς γὰρ ὃν ὡς ἑαυτὸν φιλεῖ καὶ φυλάττει, τούτου
no-one for whom as himself he-loves and guards of-this(-one)
κλέπτης ἐφωράθη. Ἀλλ' οὐδὲ ἀλλοτρίους γάμους διορύξει.
(a)-thief was-detected but nor others' marriages will-be-break-into
Οὐδ' ὅρκον ἐπίορκον ὀμόσει, οὐ μὲν οὖν οὐδὲ μαρτυρίαν
nor (an)-oath perjured will-be-swear not indeed then nor testimony
ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει. Καὶ ὅλως, οὐ χειρῶν
false against the neighbor will-be-testify and wholly not of-hands
ἀδίκων ἄρξει, τύπτειν ἢ προπηλακίζειν ἐπιχειρῶν, ἢ
unjust will-be-begin to-strike or to-abuse attempting or
τύραννος ἐραστὴς τῶν, ὅσα τῷ πλησίον ὑπάρχει,
(a)-tyrant lover of-the(-things) whatever to-the neighbor belongs
γινόμενος. Ὁ γάρ τι τούτων κατατολμῶν, αὐτόθεν
becoming the(-one) for any of-these daring at-once

λυμαίνεται ἄμφω, καὶ τὸν ἔρωτα τὸν θεῖον καὶ Δεσποτικὸν,
ruins both both the love the divine and Master's
καὶ τοῦ ὁμοφυοῦς τὴν στοργήν. Τῷ μὲν ἐπιβουλεύων
and of-the kindred the affection the(-one) indeed plotting-against
καὶ περιβάλλων κακοῖς, τὸν δὲ παρὰ φαῦλον ποιούμενος
and surrounding with-evils the(-other) and for (a)-trifle making
καὶ ὑπερορῶν. Ἐξ ὧν εἰς οἵας ἀπαραιτήτους καὶ
and overlooking from which into what-sort inexorable and
πικρὰς τιμωρίας ἐμβάλλει ἑαυτὸν πᾶσίν ἐστι φανερόν.
bitter punishments he-throws himself to-all is clear
Εἰ γὰρ ὁ τῶν ἀνθρωπίνων προσταγμάτων καὶ τῆς
if for the(-one) of-the human commands and of-the
ἐπιστατούσης ἀρχῆς ὑπερόπτης οὐ διαφεύγει τὴν δίκην,
presiding rule (a)-despiser not escapes the penalty
ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ζῆν πολλάκις τὸν κίνδυνον ἔχει, ὁ
but even to itself the to-live often the danger has the(-one)
τὸν Δεσπότην τῶν ὅλων καὶ Βασιλέα καὶ Δημιουργὸν
the Master of-the all(-things) and King and Creator
διὰ τῆς εἰς τὸν ὁμόδουλον παροινίας καὶ ἐπιβουλῆς
through the toward the fellow-servant drunken-violence and plot
ἀτιμάζων καὶ ἐξουθενῶν, καὶ τοὺς αὐτοῦ νόμους διαπαίζων,
dishonoring and setting-at-naught and the his laws mocking
καὶ χλεύην δεικνὺς, ἡλίκην τινὰ τὴν τιμωρίαν δώσει;
and derision showing how-great some the punishment will-he-pay
Διὸ προσήκει παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ, μετὰ
therefore it-befits in-every way and with-all zeal with
τῆς καθαρᾶς καὶ ἀμωμήτου ἡμῶν θρησκείας, καὶ ταύτας
the pure and blameless our religion also these
διαφυλάττειν τὰς ἐντολάς. Οὐ γάρ ἐστιν, οὐκ ἔστι,
to-keep the commandments not for it-is(-possible) not it-is(-possible)

χωρὶς αὐτῶν, οὔτε τῆς τῶν πιστῶν καὶ φιλοθέων μερίδος
without them neither of-the of-the faithful and God-loving portion
γενέσθαι, οὔτε τῆς τῶν οὐρανῶν ἀξιωθῆναι βασιλείας.
to-become nor of-the of-the heavens to-be-deemed-worthy kingdom
28 Ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ παντὶ πάσῃ δυνάμει
but these(-things) indeed by-man every with-all power
παραφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ, νέῳ καὶ πρεσβύτῃ,
to-be-guarded by-ruler and ruled young and old
πλουσίῳ καὶ πένητι. Κοινὴ γὰρ ἡ φύσις, καὶ κοινὰ τὰ
rich and poor common for (is)-the nature and common the
προστάγματα, καὶ κοινῆς τῆς παραφυλακῆς καὶ ἐπιμελείας
commands and of-common the guarding and care
δεόμενα. Ἃ δὲ μᾶλλον πρὸς τὴν τῶν ἀρχόντων ὁρᾷ
needing what but rather toward the of-the rulers looks
παιδαγωγίαν, καὶ τῇ σῇ φυλάττειν ἐπιτηδειότερα ἐξουσίᾳ,
schooling and by-the your to-keep more-suitable authority
καὶ ἐξ ὧν ἔσται σοι καὶ περὶ τῶν ἄλλων πλείστη
and from which there-will-be for-you also about the others very-much
ἐμπειρία, ἐκεῖνά σοι νῦν εἰρήσεται. Καὶ γὰρ πολλῆς τῷ
experience those(-things) to-you now will-be-said and for of-much the
ἄρχοντι δεῖ καλοκαγαθίας, τῆς τε ἄλλης, καὶ τῆς ἐν ἤθεσιν
ruler needs nobility of-the both other and of-the in manners
εὐκοσμίας. Δι᾽ ὃ καὶ φασιν «Ἀρχὴ ἄνδρα δεικνύει·»
decorum because-of which also they-say rule (a)-man shows
καὶ, ὅτι «Ὥσπερ ὁ χρυσὸς ἐν ταῖς λιθίναις ἀκόναις
and that as the gold on the stone whetstones
δοκιμάζεται, οὕτως ὁ ἀνθρώπινος νοῦς ἐν ταῖς ἀρχικαῖς
is-tested so the human mind in the ruling
ἐργασίαις καὶ ταῖς τῶν ἀρχομένων διανοίαις ἐξετάζεται.»
labors and the of-the ruled thoughts is-examined

Σὺ δέ μοι μάλιστα πρόσεχε, ἵνα μὴ μόνον ἀκροατὴς, 29
you and for-me especially attend that not only (a)-hearer
ἀλλὰ καὶ ποιητὴς γένῃ καλῶν καὶ ἀξιαγάστων πράξεων.
but also (a)-doer you-become of-fair and admirable deeds
Ἀρχὴ δὲ ἡμῖν, κἂν τούτοις, ἀπὸ τῶν θείων. Εὐχὴ
(the)-beginning and for-us even-in these from the divine(-things) prayer
μὲν οὖν Θεῷ συνάπτει καὶ οἰκειοῖ, ὁμιλία τις ἔνθεος
indeed then to-God joins and makes-kin converse some inspired
οὖσα, καὶ συνουσία νοερὰ τοῦ πάντων καλλίστου καὶ
being and communion intellectual with-the of-all fairest and
τιμιωτάτου· ἐξ οὗ πᾶσα μὲν οὐσίωσις καὶ συνοχὴ,
most-precious from whom all indeed being-given-essence and holding-together
πᾶσα δὲ πρόνοια καὶ χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ
all and providence and supply of-the good(-things) all and
τελειότης καὶ διακάθαρσις τῶν παθῶν. Ὥστε εἰ καὶ μή
perfection and cleansing of-the passions so-that if even not
τι ἄλλο κέρδος ἐκ τῆς εὐχῆς ἀνεφύετο, αὐτὸ δὴ τοῦτο
some other gain from the prayer grew very indeed this
μάλιστα τοῖς φιλοθέοις καὶ τοῦ ἀγαθοῦ φιλοθεάμοσιν ἀντὶ
especially for-the God-loving and of-the good lovers-of-the-sight instead-of
πάσης εὐφροσύνης ἤρκει, καὶ πάσης τῆς κατὰ τὸν βίον
all gladness would-suffice and all the in the life
μακαριότητος καὶ εὐδαιμονίας. Ὅτε καὶ τῶν ἡμαρτημένων
blessedness and happiness when also of-the sins
ἄφεσιν λαμβάνομεν δι᾽ αὐτῆς, καὶ τῶν ἄλλων αἰτημάτων
forgiveness we-receive through it and of-the other requests
ὅσα συμφέρουσι τὰς ἀγαθοειδεῖς καὶ τελεσιουργοὺς
as-many-as are-profitable the good-formed and perfecting
δωρεὰς, προκαλούμεθα, ἀξιούμεθά τε τῶν ἀφάτων
gifts we-call-forth we-are-deemed-worthy both for-the unspeakable
περὶ ἡμᾶς ἔργων καὶ δώρων διὰ τῆς ἐν αὐτῇ εὐχαριστίας
for us works and gifts through the in it thanksgiving

τὸν εὐεργέτην ἀμείβεσθαι, καὶ δὴ καὶ οἵας ἀπαρχάς
the benefactor to-repay and indeed also as first-fruits
τινας αὐτῷ προσφέρειν, τὰς κατ᾽ ἐκείνην τοῦ νοῦ κινήσεις
some to-him to-offer the in it of-the mind motions
καὶ δοξολογίας, τῆς νοερᾶς ἡμῶν καὶ λογικῆς οὐσιώσεως·
and glorifications of-the intellectual our and rational essence
ὅτε τοίνυν, τοσαῦτα καὶ τηλικαῦτα τῇ εὐχῇ περιείληπται,
when therefore so-many and so-great(-things) in-the prayer are-contained
πῶς οὐ χρὴ πρὸς ταύτην προθύμως ἐπεκτείνεσθαι,
how not (it)-is-needful toward it eagerly to-stretch-out
καὶ ταύτης ἐρᾷν σφόδρα καὶ ἀντιλαμβάνεσθαι.
and it to-love exceedingly and to-lay-hold-of
30 Σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διαπαντὸς καὶ καθ᾽
you therefore pray indeed prayers private always and by
ἑαυτὸν τῷ Θεῷ. Προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει,
yourself — to-God pray and also together-with the multitude
καὶ ἐν τῷ φανερῷ· δι᾽ ἑκατέρου μὲν γὰρ θεοφιλῶς
and in the open through each indeed for God-lovingly
πραττομένου, τὸ ὅσιον ἔστιν ἀποδιδόναι. Ὅσον δὲ τὸ
done the holy it-is(-possible) to-render as-much and the
πρότερον εἰς καθαρότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ
first for purity of-mind gains so-much the
δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας παρακαλεῖ. Καὶ τὸ
second to imitation the(-ones) seeing calls and the(-one)
μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ· τὸ δὲ καὶ τοὺς ἄλλους
indeed to own gain contributes the and also the others
οἶδεν ὠφελεῖν· ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ,
knows(-how) to-benefit of-whom the salvation and the progress
μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία.
great again of-the virtue is of-the ruler (a)-testimony

Ναοὺς ἐπ᾽ ὀνόματι Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων κατὰ 31
temples in (the)-name of-God and of-the his saints according-to
τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς οἰκοδόμει, καὶ τούτοις
the ecclesiastical laws build and in-these
τὸν λαὸν ἐκκλησιάζεσθαι ἔθιζε· ἵνα κοινῇ τὸ Θεῖον
the people to-assemble accustom that in-common the Divine
ἐξιλεούμενοι, καὶ κοινὴν τὴν δοξολογίαν προσάγοντες, εἰς
propitiating and common the glorification offering into
κοινήν τε μᾶλλον ὁμόνοιαν συνελαύνωνται, καὶ κοινὴν
common both rather concord they-may-be-driven-together and common
καρπῶνται τὴν σωτηρίαν καὶ ὠφέλειαν.
may-reap the salvation and benefit
Αἱ θυσίαι μὲν τῆς ἱερᾶς ἡμῶν λατρείας τοῖς ἱερεῦσιν 32
the sacrifices indeed of-the holy our worship to-the priests
ἀνάκεινται οἷς ὑπηρετῶν προθύμως καὶ προσφέρων,
are-assigned whom serving eagerly and offering
πολλῆς τῆς διὰ τούτων ἀπολαύσεις καὶ εὐεργεσίας καὶ
much of-the through them you-will-enjoy both benefaction and
χάριτος. Δύναιο δ᾽ ἂν καὶ σὺ, βουληθεὶς, κάλλιστον
grace could and — also you having-wished (a)-fairest
αὐτουργῆσαι Θεῷ θῦμα καὶ ἐρασμιώτατον, βίον αὐτῷ
to-work-yourself for-God offering and most-lovely (a)-life to-him
καλλιερούμενος καθαρὸν, καὶ διανοίας ὀρθότητα.
sacrificing pure and of-mind straightness
Εἰδὼς δὲ ὡς μεγάλη ῥοπὴ πρὸς τὴν τῶν ἄλλων διοίκησιν, 33
knowing and that (a)-great weight toward the of-the others administration
ῥώμη καὶ τάχος διανοίας, μηδὲ ταύτης ἀφίστασο τῆς
(is)-strength and quickness of-mind not-even from-this stand-away the
ἐπιμελείας. Ἀγχίνουν μὲν γὰρ οὐκ ἔστι γενέσθαι τὸν
care quick-witted indeed for not it-is(-possible) to-become the(-one)
μὴ φύσει τοῦτο πεφυκότα· μελέτη δὲ καὶ πραγμάτων πεῖρα,
not by-nature this being study but and of-affairs experience

πρόχειρον ἐμποιοῦσαι τὴν γνῶσιν, πολλάκις ἐν αὐτοῖς τοῖς
ready producing the knowledge often in the-very the
ἔργοις ὀξύτερον ἔδειξαν τὸν ἐγγεγυμνασμένον, ἢ τοὺς
works sharper showed the(-one) trained than the(-ones)
ταύτης τῆς δυνάμεως κατὰ φύσιν μετεσχηκότας. Δι' ὃ
of-this the power by nature having-partaken because-of which
φρόνησιν ἀσκεῖν προσήκει διὰ βίου· αὕτη δὲ παραγίνεται
prudence to-practice befits through life this and comes
μελέτῃ μὲν καὶ μνήμῃ πράξεων πρεσβυτέρων, ὁμιλίᾳ δὲ
by-study indeed and by-memory of-deeds older by-converse and
καὶ συνουσίᾳ τῶν περιόντων ἀνδρῶν φρονίμων, καὶ ἐμπειρίᾳ
also by-communion of-the living men prudent and by-experience
δὲ τῶν κατὰ τὸν βίον πρακτέων. Πρᾶξις γὰρ μιμήσει
too of-the(-things) in the life to-be-done action for by-imitation
καὶ βουλῇ καὶ διαχειρίσει κράτος συλλαβοῦσα, τῆς ἄνωθεν
and by-counsel and by-handling strength having-gathered of-the from-above
ῥοπῆς οὐκ ἀντιπραττούσης, εἰς συμφέρον τέλος ἀποβαίνει.
influence not opposing to (a)-profitable end turns-out

34 Μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἡμῶν καὶ σχημάτων καὶ
nor the(-things) about the body and our and postures and
κινήσεων, ὡς εὐτελῶν, ὑπερόρα. Καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς
motions as trifling overlook and for also the in them
ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως
best order and composure not (the)-least part of-prudence
ἔδοξεν εἶναι· καὶ τῶν ἀνθρώπων, ὅσοι μὴ συνιδεῖν εἰσιν
seemed to-be and of-the men as-many-as not to-perceive are
ἐκ τοῦ ῥᾴστου δεινοὶ τῆς ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος,
from the easiest clever the in the soul power and the beauty
οὗτοι τοῖς ἔξωθεν θεάμασι ξεναγούμενοι, καὶ τῶν ἀδήλων
these by-the outward sights guided and of-the unseen
ἐρασταὶ καὶ ἐπαινέται καθίστανται. Διὰ τοῦτο δεῖ
lovers and praisers become because-of this (it)-is-needful

καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ
both of-face by-disposition and of-hair by-dressing and by-wrapping
ἐσθῆτος κόσμιον ὁρᾶσθαι καὶ σεμνὸν, μήτε εἰς τὸ βλακῶδες
of-garment orderly to-be-seen and dignified neither into the effeminate
καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν πέρα τοῦ μετρίου
and overdone carried nor again beyond the moderate
πρὸς τὸ ἠμελημένον καθελκόμενον. Ἑκάτερον γὰρ ἀπρεπὲς
toward the neglected dragged-down each for (is)-unseemly
καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ
and contemptible and to-ruling life alien and
βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ
of-gait too befits the ruler orderliness neither into the
θηλυπρεπὲς καὶ ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν, μήτε
womanish and loose disgracing the motion nor
μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύτην
indeed into the abrupt and disturbed and uneven it
ἐκνεωτερίζοντι· καὶ ὅλως, πᾶσα κίνησις τάξει κοσμείσθω.
innovating and wholly every motion with-order let-be-adorned
Δεῖ δὲ καὶ τὸ ἐν λόγοις τάχος εὐλαβεῖσθαι. Ταχυλογία 35
(it)-is-needful and also the in words speed to-beware-of fast-talking
γὰρ, ἐν μὲν ἀγωνιστικαῖς διαλέξεσι καὶ ἀμίλλαις, οὐκ
for in indeed contentious disputations and rivalries (is)-not
εὐκαταφρόνητον ἴσως, οὐδὲ ἀγενές· ἐν δημηγορίᾳ δὲ, ἀνόητον
contemptible perhaps nor ignoble in public-speaking but senseless
καὶ ἐπισφαλές. Ἐν δὲ προστάγματι, καὶ μάλιστα τοῖς
and risky in but command and especially the
πολιτικοῖς, καὶ κοινοῖς εὐτελὲς καὶ ταπεινόν. Ἐντελέστερον
political and common (it-is)-cheap and lowly more-completely
δ' εἰπεῖν, ταχύτης ἐν πράξει καὶ λόγοις καὶ κινήμασι, σὺν
and to-say speed in action and words and motions with
εὐταξίᾳ, θεῖον μέν τινα καὶ ὑπερφυῆ ἀποφαίνει τὸν ἔχοντα.
orderliness divine indeed some and supernatural shows the(-one) having(-it)

Σπάνιον δὲ, καὶ συνελθεῖν ἅμα πάντα χαλεπώτατον.
rare and also to-come-together at-once all (is)-hardest
Τὸ δὲ ἐν τούτοις σύμμετρον σὺν εὐταξίᾳ, σεμνόν τε καὶ
the and in these measured with orderliness dignified both and
ἀξιάγαστον, καὶ μεστὸν ὄγκου καὶ σὺν εὐλαβείᾳ, ποθεινὸν
admirable and full of-weight and with circumspection desirable
ὁρᾶσθαι παρασκευάζει, καὶ ἄρχειν ἐπιτηδειότερον, εἴπερ
to-be-seen makes and to-rule more-fit if-indeed
καὶ ἐν τοῖς ἀρίστοις ἔστι τε τῷ πλήθει ἐρασμιώτερον.
also among the best it-is both to-the multitude more-lovely
Ταχύτης δὲ σὺν ἀταξίᾳ, ἔμπληκτον καὶ μανικὸν, καὶ
speed and with disorder (is)-impetuous and mad and
παραδιορθοῦν ἐνίοτε μεγάλα, καὶ σφάλλον ὡς τὰ πολλὰ
setting-wrong sometimes great(-things) and erring as the most(-part)
παραπλήσια. Ἡ δὲ σὺν ἀταξίᾳ βραδύτης, νωθρὸν καὶ
similar(-things) the and with disorder slowness (is)-sluggish and
ἠλίθιον, καὶ σφάλλον μὲν ἐνίοτε καὶ μεγάλα, κατορθοῦν
foolish and erring indeed sometimes also great(-things) setting-right
δὲ ἐλάχιστα, καὶ ταῦτα λίαν ταπεινὰ, καὶ πρὸς τὰς λοιπὰς
but least(-things) and these very lowly and to the remaining
ἐκείνου πράξεις μόνον παραμετρούμενα, κατορθώματα.
his deeds only measured right-deeds

36 Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι, μετὰ τοῦ ἀσχημονεῖν τὴν
the toward laughters to-be-broken-down with the to-disgrace the
μορφὴν, καὶ τοῦ ἤθους ἐστὶν ἐξυβρίζειν τὴν εὐστάθειαν.
form also of-the character is to-outrage the stability

37 Αἰσχροῤῥημοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα
from-foul-speech and all both hearing and tongue
καθαρευέτω. Ἃ μὲν γάρ τις ἀκούων ἥδεται, ταῦτα
let-be-clean what indeed for someone hearing delights-in these
καὶ λέγειν οὐκ αἰσχύνεται, ὅτι καὶ πράττειν οὐκ
also to-say not is-ashamed that also to-do not

αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν. Δι᾽ ὅλου
he-will-be-ashamed great has-provided proof through whole
δὲ, γλώσσης φυλάσσου παρολισθῆσαι. Ῥήματι γὰρ
and of-tongue beware to-slip for by-word
βραχυτάτῳ πολλάκις ὑποσφαλεῖσα, μεγάλην ἤνεγκε ζημίαν,
(a)-briefest often having-tripped great it-brought loss
αὐτοὺς τοὺς περὶ τοῦ ζῆν ἐσχάτους ἀναῤῥίψασα κύβους.
the-very the about the to-live last having-thrown dice
Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεῳγμένα, πρὸς 38
have the ears to-the indeed wronged opened to
δὲ τὰς τῶν ἀδικούντων ἐπαγωγὰς καὶ πιθανολογίας
but the of-the wrongdoers allurements and plausible-speeches
ἀποκεκλεισμένα.
shut
Χείλη δὲ κατήγορα, καὶ συκοφαντίας ἀποστρέφου· 39
lips and accusing and slanders turn-from
πολλάκις γὰρ παῖδας κατὰ πατέρων, καὶ πατέρας ἐξέμηνε
often for children against fathers and fathers it-maddened
κατὰ παίδων, καὶ βίον ἔσχισε συζυγίας καὶ συγγενεῖς
against children and (the)-life split of-marriage and kinsmen
ἐπανέστησε κατ᾽ ἀλλήλων. Καὶ τί λέγω; πόλεις ὅλας
raised against one-another and why do-I-say cities whole
καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.
and houses overturned one voice of-(a)-slanderer
Μὴ ταχὺς ἦσθα ζευγνύειν εἰς φιλίαν· συζεύξας δὲ, παντὶ 40
not quick be to-yoke into friendship having-yoked and in-every
τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει, ἅπαν τοῦ πλησίον
way the bond unloosed keep all of-the neighbor
ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει·
bearing the weight except if not-yet of-soul danger it-brings
αἱ γὰρ πρὸς τοὺς φίλους διαστάσεις τὴν ὅλην προαίρεσιν
the for toward the friends quarrels the whole choice

ἐκφαυλίζουσι τῶν ἀνθρώπων, καὶ οὐ τὸν ὑπαίτιον μόνον,
disparage of-the men and not the guilty only
ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν κατασπῶσιν.
but also the guiltless into the same suspicion drag-down
Ἐκείνοις δὲ κέχρησο φίλοις οἳ πρὸς ἑτέρους κατὰ
those and use (as)-friends who toward others at
πάντα καιρὸν ἄδολον διεσώσαντο τὴν φιλίαν, καὶ μήτε
every time guileless preserved the friendship and neither
εὐπραγοῦσι βασκανίας ἐπέβαλον ὀφθαλμὸν, μήτε ἠμέλησαν
on-(the)-prosperous of-envy cast (an)-eye nor neglected
δυσπραγούντων. Πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν
(the)-unfortunate many for badly indeed faring
ἐπεκούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ
helped both and worked-with the friends well but
φερομένων, ὁρᾷν οὐκ ἤνεγκαν τὴν εὐημερίαν· καὶ οὓς οὐκ
borne to-see not they-endured the good-fortune and whom not
ἤλεγξε καιρὸς συμπαθείας, τούτους ἐφώρασε τὸ πάθος τοῦ
tested (a)-time of-sympathy these detected the passion of-the
φθόνου. Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς
envy acquire therefore friends not the base but the
ἀρίστους. Ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ
best from for the beloved as the most(-part) are-judged the
ἤθη τῶν φίλων· καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷστον ἄν
characters of-the friends and through indeed the earnest most-easily —
τις, καὶ παρασφαλεὶς, ἐπαναχθείη· οἱ φαῦλοι δὲ καὶ τὴν
someone even having-slipped could-be-brought-back the base and even the
προσοῦσαν λυμαίνονται καλοκαγαθίαν· καὶ οἱ μὲν καὶ τὸ
present ruin nobility and the(-ones) indeed even the
λεῖπον εἰς ἀρετὴν, δι' ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπὲς
lacking toward virtue through themselves fortifying without-lack
φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία, καὶ
to-appear make the and toward the base mixing even

ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει. Μὴ ζήτει δὲ
what is remaining of-virtue bastard declares not seek and
παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον·
from friends to-hear the pleasant(-things) but the true(-things) rather
εἰ γὰρ ἐχθροῖς μὲν, οὐδ' ἀληθεύουσι, πιστευτέον, φίλοις δὲ
if for enemies indeed not-even speaking-truth must-be-believed in-friends and
διέφθορε τὰ τῆς ἀληθείας, καὶ τὸ ἡδὺ λέγειν ζητοῦσι
has-been-corrupted the of-the truth and the pleasant to-say seek
κἀκεῖνοι, πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο
they-too whence for-us from-elsewhere the of-the truth would-be
γνῶσις, καὶ ἡ ἐπιστροφὴ, τῶν οὐκ εὐαγῶς ἐνίοτε
knowledge and the correction of-the(-things) not holily sometimes
παρ' ἡμῶν λεγομένων ἢ πραττομένων; Διὸ μέγιστον ἡγοῦ
by us said or done therefore (as)-greatest consider
φίλους κολάκων διαφέρειν. Οἱ μὲν γὰρ κατὰ πρόσωπον
friends from-flatterers to-differ the(-ones) indeed for to (your)-face
ἐπαινοῦντες, σέ τε τῶν, ὡς εἰκὸς, ἁμαρτανομένων
praising you both of-the as likely(-things) sinned
συναίσθησιν λαβεῖν οὐκ ἐῶσι, καὶ μείζω ταῦτα πρὸς τοὺς
perception to-take not allow and greater these toward the
ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν· οἱ δὲ καὶ σὲ,
others by-the slanders make the(-others) and both you
τῷ διὰ φιλίας ἐλέγχῳ, συνιδεῖν τὸ παρανομηθὲν
by-the through friendship reproof to-perceive the(-thing) transgressed
μᾶλλον δυναμοῦσι, κἂν τι δέῃ πρὸς τοὺς ἔξω
rather enable and-if something (it)-be-needful to the outside
λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος
to-say instead-of accusation (a)-defense of-the(-thing) done
ἐκμηχανῶνται. Ὅσον οὖν τοῦ ἐπὶ κακίαν προκόπτειν τὸ
contrive as-much then than-the to wickedness to-advance the
ἀρετὴν ἀσκεῖν διενήνοχε, καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς
virtue to-practice differs and than-the to-be-slandered among the

ἀρχομένοις τὸ τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ
ruled the the slanders to-dissolve so-much (it)-is-needful
παρὰ σοὶ τοὺς εὔνους πλέον ἔχειν τῶν κολάκων.
with you the well-disposed more to-have than-the flatterers

Πρὸς Μιχαὴλ τὸν ἄρχοντα Βουλγαρίας

TO MICHAEL OF BULGARIA · IV · COUNSELS FOR A RULER

A run of short counsels on rule. Share with friends secrets that do you credit and keep the rest from them; praise friends when they are absent. Be inexorable to those who wrong others or the state and merciful to those who wrong you, for that is the mark of a king and not a tyrant. The powerful man who does wrong has no excuse. Rule by the goodwill of the ruled rather than by fear, keep exact laws but enforce them humanely, and let punishment be feared more than used. A ruler's virtue makes a base city good, his companions' faults are charged to him, and his way of life becomes the law. Take counsel before acting, avoid envy, and rule yourself before others; the best judge is quick to find the truth and relieve the wronged and slow to punish. Do not change toward your own without cause, appoint just officials, and test men by how they treat their household, friends, and enemies. Turn the people's quarrels against the enemy. Avoid oaths, deceit of those who trust you, and vehement promises. Remember favors you receive, forget the ones you give, and never give a favor late, by halves, or as a reproach.

41 Τῶν ἀπορρήτων, ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει,
of-the secrets (those)-which indeed the your virtue increase
κοινώνει τοῖς φίλοις· ἃ δὲ τὴν γνώμην φαυλίζει, μήτ'
share with-the friends (those)-which but the mind debase neither
αὐτὸς μετέρχου, μήτε τοῖς φίλοις ἀνατίθει. ἄριστον μὲν
yourself pursue nor to-the friends entrust best indeed
γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας· Πλὴν γε δὴ, καὶ εἰς
for (is)-this even without cause other however indeed indeed also into
κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦ φίλτρου τραπέντος,
satiety as many(-are) the human(-things) the love having-turned

μᾶλλον τῆς παραινέσεως τὸ χρήσιμον καθορᾶται· τὸ μὲν
rather of-the exhortation the usefulness is-seen the indeed
γὰρ φαῦλον τῶν κρυφίων, τότε μάλιστα τοὺς λογισμοὺς
for base of-the secrets then especially the thoughts
τοῦ συνεγνωκότος ὑποτρέχον καὶ διακυμαῖνον, θᾶττόν
of-the(-one) having-shared(-them) running-under and stirring-up quicker
τε, καὶ σὺν οὐδενὶ ὄκνῳ, τῆς ἀγάπης ἀποστήσει, καὶ
both and with no hesitation from-the love will-detach and
πρὸς ἐπιστροφὴν ἰδεῖν οὐκ ἐάσαι· σοί τε διαβολὴν
toward returning to-see not allow on-you both slander
βαρεῖαν, ἔκφορον γεγονὸς, ἐποίσει, καὶ πρὸς τὸν
heavy divulged having-become will-bring and toward the(-one)
ἐξειπόντα χαλεπώτερον διαθήσει. Τὸ δὲ χρηστὸν τόν τε
having-told more-harshly will-dispose the and good the(-one) both
συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικατασχέσει, δεσμῷ
having-shared to-break from-the friendship will-hold-back by-(a)-bond
κρατίστῳ, τῇ ἀρετῇ, βιαζόμενον, καὶ εἰς ἔπαινον τῆς σῆς
strongest by-the virtue constrained and to praise of-the your
σπουδαίας γνώμης ἐπὶ νοῦν ἐρχόμενον, διαναστήσει, καὶ σὲ
earnest mind to mind coming will-rouse and you
δηλονότι ταῦτα συνορῶντα, οὐχ ἀηδῶς ἀναλαβεῖν, εἴ
clearly these(-things) perceiving not unpleasantly to-take-up if
τι παρηνέχθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν
in-anything you-were-carried-aside the both toward him converse and the
ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει. Ἀεὶ μὲν οὖν φίλους εὐλόγει.
in the longing attachment will-persuade always indeed then friends speak-well-of
μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων. Οὕτω γε
especially and the absent before the present thus at-least
γὰρ καὶ τὸ τῆς κολακείας διαφύγοις, οὐδ' ἴχνος αὐτῆς
for also the of-the flattery you-may-escape not-even (a)-trace of-it
ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ
in you to-appear contriving and to-the friends you-will-be

πράττων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παροῦσι
doing pleasing(-things) such yourself to-be to-the present
πιστώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.
having-assured as to-them about the absent you-were-known
42 Οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας ἔσῃ τοῖς
thus and yourself with-friendship having-fenced you-will-be to-the(-ones)
μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελοῦσιν
indeed against others and against the common(-good) offending
ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι
inexorable to-the(-ones) and against you sinning
συμπαθέστατος. Διὰ μὲν γὰρ ἐκείνου εὐνομία ἔσται τῇ
most-sympathetic through indeed for that good-order will-be for-the
πολιτείᾳ, καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ
commonwealth and the your for the ruled evident zeal
καὶ κηδεμονία· διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς
and care through and this the humane of-the
γνώμης καὶ ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύττεται τρόπος.
mind and the royal as truly is-proclaimed way
Οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων
the indeed for tyrants the common(-things) of-the wrongs
καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς
and the(-things) against one-another often overlook bitterly
δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι· βασιλέως δέ ἐστι
and the(-things) against themselves examine of-(a)-king and it-is
καὶ ἀρχῆς ἐννομωτάτης ἔργον, τὰ μὲν εἰς ἑαυτὸν
and of-rule most-lawful (the)-work the(-things) indeed against himself
φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς
humanely to-bear the(-things) and against (the)-common and against
ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.
one-another justly to-set-right and to-carry-through

Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος, ὁ μεγάλην ἐξουσίαν 43
as of-many praises worthy (is)-the(-one) great authority
τοῦ ἀδικεῖν λαβὼν, καὶ τὰ δίκαια πράττων· οὕτω
of-the to-do-wrong having-received and the just(-things) doing so
πολλῶν ὑπεύθυνος ψόγων, ὁ μηδενὸς ἐνδεὴς τῶν
of-many liable blames (is)-the(-one) of-nothing in-need of-the
ἀναγκαίων, καὶ εἰς τὰ ἀλλότρια τὰς χεῖρας ἐκτείνων. Ἀνδρὶ
necessities and to the others'(-goods) the hands stretching for-(a)-man
μὲν γὰρ πενομένῳ πρόφασις, εἰ καὶ παράλογος, τοῦ ἀδικεῖν,
indeed for being-poor (a)-pretext if even unreasonable of-the to-do-wrong
ἡ πενία· ἀνὴρ δὲ δυναστείαν ἔχων, καὶ ἀπορίαν οὐκ
(is)-the poverty (a)-man but power having and want not
ἔχων, ἀναπολόγητον ἔχει τὴν ἀπὸ τοῦ ἀδικεῖν ἁμαρτίαν.
having indefensible has the from the to-do-wrong sin
Ὅσῳ δέ τις προέχει τῇ ἀρχῇ, τοσούτῳ χρεωστεῖ 44
by-as-much and someone excels in-the rule by-so-much he-owes
πρωτεύειν καὶ τῇ ἀρετῇ. Ὁ δὲ τοὐναντίον ποιῶν,
to-be-first also in-the virtue the(-one) and the-opposite doing
τρία ἅμα, καὶ κάκιστα, ἐπιτελεῖ· ἀπόλλυσιν ἑαυτόν·
three(-things) at-once and worst accomplishes he-destroys himself
τοὺς ὁρῶντας εἰς κακίαν παρακαλεῖ· βλασφημεῖσθαι
the(-ones) seeing to wickedness he-calls to-be-blasphemed
παρασκευάζει τὸν Θεὸν, ὅτι τοιούτῳ τηλικαύτην
he-causes — God because to-such(-a-man) so-great
ἐνεχείρισεν ἀρχήν. Διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ
he-entrusted rule because-of this by-every indeed man
φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν τῇ ἀρχῇ.
must-be-fled the wickedness especially and by-the(-ones) in the rule
Ἄρχε τοίνυν τῶν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ 45
rule therefore the subjects not trusting to-tyranny but
τῇ τῶν ἀρχομένων εὐνοίᾳ. Εὔνοια γὰρ μεῖζον ἀρχῆς
to-the of-the ruled goodwill goodwill for (is)-a-greater of-rule

βάθρον καὶ ἀσφαλέστερον, ἢ φόβος. Τοῦτο δὲ ἀρετῶν
foundation and safer than fear this and of-virtues
τε κτῆσις ποιεῖ, καὶ οἱ περὶ τὸ ὑπήκοον πόνοι καὶ
both (the)-acquisition makes and the for the subject(-people) labors and
φροντίδες. Οὕτω δὲ αὐτός τε ὡς ἀληθῶς βασιλικῶς
cares thus and yourself both as truly royally
καὶ ἡδέως βιώσεις, κἀκείνοις ἐλευθέραν ἐπιβουλῆς
and pleasantly will-live and-for-them free from-plotting
καὶ συμφορῶν ἀλογίστων τὴν πολιτείαν συντηρήσας,
and calamities unreasoning the commonwealth having-kept
ἀείμνηστον σαυτοῦ κλέος τὸν ἅπαντα χρόνον καταλείψεις.
ever-remembered of-yourself fame (for)-the all time you-will-leave
46 Νόμων τοὺς ἀκριβεστάτους ἐπαίνει καὶ ἀποδέχου· καὶ
of-laws the most-exact praise and accept and
πρὸς ἐκείνους βλέπων, τὸν σεαυτοῦ ῥύθμιζε βίον·
to them looking the of-yourself regulate life
μὴ μέντοι κατὰ τὰς ἐκείνων ψήφους τὸ ὑπήκοον
not however according-to the their votes the subject(-people)
ἀπαραιτήτους εἰσπράττου τὰς τιμωρίας, ἀλλὰ διὰ
inexorable exact the punishments but through
τῶν φιλανθρωποτέρων μᾶλλον παιδαγώγει· οὕτω τε
the more-humane rather school(-them) so both
γὰρ φοβερός, δι' ὧν σεαυτὸν ἀκριβολογεῖς, τοῖς
for fearsome through what yourself you-scrutinize to-the(-ones)
ἁμαρτάνουσιν εἶναι δόξεις, καὶ ἀνεπαχθὴς τοῖς ὑπηκόοις.
sinning to-be you-will-seem and unburdensome to-the subjects
47 Δεῖ δὲ ἐγκρατῶς ἄρχειν, οὐ τῷ κολάζειν, ἀλλὰ
(it)-is-needful and with-self-control to-rule not by-the to-punish but
τῷ δοκεῖν κολαστικὸν εἶναι. Τοῦτο δὲ ἦθος εὐσταθὲς
by-the to-seem punitive to-be this and character stable
ποιεῖ, καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια.
makes and the of-the own ways dignity and care

Ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων, αἱ
of-irascible and rather men than of-prudent(-men) (are)-the
κολάσεις· οἵτινες ἀπορίᾳ τοῦ δημαγωγεῖν σωφρόνως,
punishments who for-want of-the to-lead-the-people temperately
ἐπὶ τὸ κολάζειν τρέπονται ῥᾳδίως. Καὶ τὸ μὲν καὶ
to the to-punish turn easily and the(-one) indeed even
ὁ τυραννικώτατος πράξειεν ἄν· τὸ δὲ, μόνος ὁ
the most-tyrannical could-do — the(-other) but only the
ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ μὴ φθείρειν, ἀλλὰ
most-princely if-indeed of-a-ruler (the)-virtue (is)-not to-destroy but
πλείους καὶ βελτίονας ποιεῖν τοὺς ἀρχομένους.
more and better to-make the ruled
Ἄρχοντος μέν τινες ἔφησαν ἀρετὴν, ἐκ μικρᾶς μεγάλην 48
of-a-ruler indeed some said (the)-virtue from small (a)-great
πόλιν ποιῆσαι· ἐγὼ δὲ μᾶλλον ἂν φαίην, τὸ ἐκ φαύλης
city to-make I but rather — would-say the from (a)-base
σπουδαίαν παρασκευάσαι. Τοῦ μὲν γὰρ καὶ καιρῶν
(an)-earnest to-make of-the(-one) indeed for also of-times
πολλάκις φορὰ γέγονε παραιτία. Τὸ δὲ οὐκ ἔστι
often (the)-drift has-become (the)-joint-cause the(-other) but not it-is(-possible)
μὴ οὐχὶ παρὰ τοῦ ἄριστα διοικοῦντος γενέσθαι. Ὃν σὺ
not not from the(-one) best administering to-come-about whom you
παραζηλῶν, δι᾽ ὧν κατορθοῖς, ἀρετῇ τὴν τῶν ἀρχομένων
emulating by what you-accomplish by-virtue the of-the ruled
αὔξεις πολιτείαν.
you-increase commonwealth
Ὥσπερ τεῖχος σαθρὸν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπρὰς, 49
as (a)-wall rotten even-if houses within it-have splendid
καὶ ἀέρων εὐκρασίαν, καὶ ὠνείων ἀφθονίαν, ὅμως τὴν
and of-airs (a)-good-temperature and of-wares abundance nevertheless the
πόλιν ἐξευτελίζει· οὕτως οἱ περὶ τὸν ἄρχοντα φαῦλοι,
city cheapens so the(-ones) about the ruler base

καὶ τὸν ἐκείνου συνδιαβάλλουσι τρόπον. Οἱ γὰρ ἐκείνων
also the his slander-together way the(-ones) for of-them
τῆς πονηρίας λαμβάνοντες πεῖραν, καὶ τὸν ὑπ᾽ αὐτῶν
of-the wickedness taking experience also the(-one) by them
δορυφορούμενον παραπλήσιον ὑπολαμβάνουσιν εἶναι.
escorted similar suppose to-be

50 Μηδενὸς παρανομίαν, κἂν δοκῇ δι᾽ αὐτῆς εὐημερεῖν,
of-no-one (the)-lawlessness even-if he-seem through it to-prosper
ἐπαινέσῃς. Ἐκεῖνόν τε γὰρ μᾶλλον εἰς κακίαν ὑπαλείψεις,
praise him both for rather to wickedness you-will-anoint
καὶ σεαυτὸν εἰς παραπλησίαν πρᾶξιν καιρὸν ἐπιζητεῖν
and yourself for (a)-similar deed (an)-occasion to-seek
ἀπελέγξεις. Ὁ γὰρ πρὸ καιροῦ ταῦτα, δι᾽ ὧν
you-will-convict the(-one) for before (the)-occasion these(-things) through what
ἐπαινεῖ, προθυμούμενος καὶ τιμῶν, τί ἂν οὐ ποιήσαι
he-praises being-eager and honoring what — not would-he-do
τοιούτου παραπεπτωκότος;
such(-a-chance) having-fallen-in(-his-way)

51 Ὁ τῶν ἀρχόντων τρόπος, νόμος γίνεται τοῖς ὑπὸ χεῖρα.
the of-the rulers way law becomes for-the(-ones) under hand
Εἴ τι οὖν τὸ πλῆθος ἐξαμαρτάνει, εἰς τὸν ἄρχοντα τὴν
if anything then the multitude errs on the ruler the
αἰτίαν ἀναπέμπει, πόσον οἴει σαυτὸν ἀρετῆς ἐπιμελεῖσθαι,
blame it-refers how-much think-you yourself of-virtue to-take-care
καὶ χρεωστεῖν ἀεὶ ἐπὶ τοῖς καλοῖς ἐγρηγορέναι;
and to-owe always for the good(-things) to-be-awake

52 Πάσης πράξεως βουλὴ προηγείσθω. Αἱ γὰρ ἀνεπίσκεπτοι
of-every deed counsel let-go-before the for unconsidered
πράξεις, ὡς τὰ πολλὰ σφαλεραί· καὶ τὸ κατορθούμενον,
deeds as the most(-part) (are)-risky and the(-thing) accomplished

δικαίως ἂν αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον, ἢ
justly — of-cause another (the)-work would-be-thought rather than
τῆς τοῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.
of-the of-the often having-slipped impulse and chance
Ἅπερ χεῖρες πολλῶν, καὶ πολλάκις, οὐκ εἰργάσαντο, 53
what hands of-many and often not wrought
ταῦτα βουλὴ μία καὶ ἐφάπαξ κατεπράξατο. Δι᾽ ὃ
these(-things) counsel one and once accomplished because-of which
εὐβουλίαν προτίμα πολυχειρίας.
good-counsel prefer to-many-hands
Προνοίας ἐπίκουρος ἡ μετάνοια, ἃ τοίνυν ἐκείνην 54
of-foresight (the)-helper (is)-the repentance what therefore her
διέλαθε καὶ ἐκπίπτει, αὖτη ταῦτα ἐπανελομένη διορθούσθω
escaped and falls-out it these(-things) taking-up let-it-correct
καὶ διασωζέτω.
and preserve
Ὁ φθόνος, πάσῃ μὲν ψυχῇ μεγάλη νόσος· μεγίστη δὲ, 55
the envy to-every indeed soul (is)-a-great disease greatest and
μάλιστα τοῖς ἐν ἐξουσίᾳ. Ἀνάγκη γὰρ, οἷς
especially to-the(-ones) in authority (it-is)-necessary for (those)-whom
συνεργοῖς μέλλει χρῆσθαι καὶ βίου καὶ πόλεως πρὸς
(as)-fellow-workers he-is-going to-use both of-life and of-city toward
εὐδαιμονίαν, τούτους ὁρᾷν ὡς ἐχθροὺς, διὰ τὴν
happiness these to-look-on as enemies because-of the
ἐνοῦσαν ἀρετὴν, καὶ ἐπιβουλεύειν ὡς πολεμίοις. Οὗ
being-in(-them) virtue and to-plot(-against) as against-foes than-which
τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέστερον;
what — would-be more-ruinous or more-senseless
Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσοῦτον διώκειν 56
as-much and (it)-is-needful to-flee the to-envy so-much to-pursue
τὸ φθονεῖσθαι. Ἄρχοντι δὲ μάλιστα πρέπει, ᾧ μηδ᾽
the to-be-envied for-(a)-ruler and especially it-befits to-whom not-even

ἐξ ἑτοίμου ἢ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ
from (the)-ready or from the envious is-borne harm if
δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν (πολυμήχανον
(it)-is-needful and nevertheless the envy to-check much-contriving
γὰρ καὶ πάντολμον τὸ θηρίον), οὐκ ἀρετῆς ἐλαττώσει,
for and all-daring (is)-the beast not by-virtue's diminishing
μετριότητι δὲ φρονήματος, καὶ ἀφαιρέσει καὶ περικοπῇ
by-moderation but of-spirit and by-removal and cutting-back
τῆς ἐν τοῖς οὐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας,
of-the in the not necessary(-things) display and greed
τὰς αὐτοῦ βολίδας διακρουστέον.
the its darts must-be-beaten-off

57 Ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων
when someone rules himself then let-him-think also the subjects
ἄρχειν ἀληθῶς. Ὅταν γὰρ ἴδωσι τὸν ἐφεστηκότα ἄρχοντα
to-rule truly when for they-see the set-over(-them) ruler
παθῶν καὶ κρατοῦντα ἡδονῶν, τότε πόθῳ καὶ ἑκόντες καὶ
of-passions and mastering pleasures then with-longing and willingly also
αὐτοὶ ὑποταγήσονται· ἂν δὲ ἀνδράποδον ἴδωσιν ἡδονῆς καὶ
themselves they-will-submit if but (a)-slave they-see of-pleasure and
παθῶν, ἀφόρητον ἡγήσονται ἀνδραπόδῳ δουλεύειν αὐτοί.
passions unbearable they-will-think to-(a)-slave to-be-slaves themselves

58 Ἄριστον νόμιζε δικαστὴν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ
best think (the)-judge who by-quickness indeed of-reasonings the of-the
δικαίου φύσιν θηρεύει, θηρεύσας δὲ σὺν ὀρθότητι προάγει·
just nature hunts having-hunted and with rightness brings-forward
καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις ὀξὺς, βραδὺς δὲ
and to-bring indeed relief to-the wronged (is)-swift slow but
κολάσαι τοὺς ἁμαρτάνοντας· καὶ κρείττων μὲν χρυσίου,
to-punish the sinners and stronger indeed than-gold
οὐκ ἐλάττων δὲ δυναστείας· καὶ κρατῶν μὲν ὀργῆς, οὐχ
not less and than-power and mastering indeed anger not

ἡττώμενος δὲ συμπαθείᾳ· καὶ μόνην μὲν συγγένειαν καὶ
defeated but by-sympathy and only indeed kinship and
φιλίαν καὶ δόξαν οἶδεν, ἐν τῷ δικάζειν, τὴν δικαιοσύνην·
friendship and glory knows in the to-judge the justice
μόνην δὲ ἀλλοτρίωσιν καὶ ἔχθραν καὶ ἀδοξίαν, τὴν ἀδικίαν.
only and estrangement and enmity and disgrace the injustice
Μηδὲν τῆς πρὸς τὸ ὁμόφυλον διαθέσεως εὐχερῶς καὶ χωρὶς 59
nothing of-the toward the kindred disposition easily and without
ἐμφανοῦς αἰτίας μεταβάλλοις. Εἰ γὰρ καὶ ὑπολανθάνουσαι
manifest cause may-you-change if for even lying-hidden
παρ᾽ αὐτῶν αἰτίαι τὴν πρὸς αὐτοὺς μεταβολὴν δικαίαν
from them causes the toward them change just
ποιοῦσιν, ἀλλ᾽ οὖν οἱ ταύτας μὴ συνορῶντες, οὐκ
make but then the(-ones) these not perceiving not
ἐκείνους αἰτιάσονται τῆς σῆς περὶ αὐτοὺς ἀλλοιώσεως,
them will-blame for-the your toward them alteration
σοῦ δ᾽ ἀῤῥωστίαν καὶ εὐχέρειαν κατηγορήσουσι γνώμης.
of-you but weakness and levity will-accuse of-mind
Οὐχ οὕτως ἡ ἐν πολέμῳ ἀνδρεία τὸν ἄρχοντα κοσμεῖ 60
not so the in war courage the ruler adorns
καὶ σώζει, ὡς ἡ πρὸς τοὺς ὁμοφύλους εὐμένεια καὶ
and saves as the toward the kindred goodwill and
φιλανθρωπία. Πολλοὶ γὰρ πολεμίων κρατήσαντες, ὑπὸ
humanity many for enemies having-mastered by
τῶν οἰκείων δι᾽ ὠμότητα διεφθάρησαν· καὶ πολλοὶ
the own because-of cruelty were-destroyed and many
παρὰ μικρὸν ἁλῶναι πολεμίοις κινδυνεύσαντες, ὑπὸ τῶν
by little to-be-taken by-enemies having-run-the-risk by the
ὁμοφύλων διεσώθησαν, οὐδ᾽ αὐτὸ τὸ ζῆν ὑπὲρ τῆς
kindred were-saved not-even itself the to-live above the
σωτηρίας προτιμησάντων τοῦ ἄρχοντος.
safety having-preferred of-the ruler

61 Ἄρχοντας δεῖ καθιστάναι, μάλιστα μὲν πάσαις
rulers (it)-is-needful to-appoint especially indeed in-all
πλουτοῦντας ταῖς ἀρεταῖς· εἰ δὲ μὴ, πάντως γε
rich the virtues if but not wholly at-least
δικαιοτάτους. Καὶ γὰρ ἃ τοῖς ἄρχουσι παραμονεῖται,
most-just and for what by-the rulers is-done-unlawfully
ταῦτα τὸ μῖσος καὶ τὴν ὀργὴν τοῦ πλήθους εἰς τὸν
these(-things) the hatred and the wrath of-the multitude to the(-one)
προχειρισάμενον ἀναφέρει.
having-appointed(-them) refer

62 Πολλαχόθεν δεῖ τὸν ἄρχοντα θηρεύειν τῶν ὑπηκόων
from-many-quarters (it)-is-needful the ruler to-hunt of-the subjects
τὰς γνώμας, καὶ οὕτω κοινωνοῖς χρῆσθαι φιλίας καὶ ἀρχῆς
the minds and so (as)-sharers to-use of-friendship and of-rule
καὶ βουλευμάτων· πρῶτον, ἐξ ὧν αὐτὸς τὰ κατὰ τὴν
and of-counsels first from how he-himself the(-things) in the
αὐτοῦ οἰκίαν οἰκονομεῖν δεύτερον, ἐξ ὧν γυναικί τε καὶ
his-own house manages second from how with-wife both and
παισὶ καὶ δούλοις συνδιατίθεται· τρίτον, ἐξ ὧν κέχρηται τοῖς
children and slaves he-is-disposed third from how he-has-used the
φίλοις· τέταρτον, ἐξ ὧν πρὸς τοὺς ἐκ γειτόνων διάκειται·
friends fourth from how toward the(-ones) from neighbors he-is-disposed
καὶ πέμπτον, ἐξ ὧν ἔχθραν τε ἀναδέχεται καὶ ἀμύνεται, καὶ
and fifth from how enmity both he-takes-up and avenges and
πάλιν, οἷς κατατίθεται καὶ διαλύεται. Ἱκανὰ γὰρ ταῦτα
again how he-lays-down and is-reconciled sufficient for (are)-these(-things)
φύσιν ἀνδρὸς τεκμηριῶσαι, καὶ δεῖξαι γυμνὸν προσωπείου,
(the)-nature of-a-man to-prove and to-show bare of-mask
καὶ τοῖς ἐπὶ σκηνῆς ὑποκρίσεως τὸν ἄνθρωπον θεωροῦσι.
even to-the(-ones) on (the)-stage of-acting the man viewing

Τότε κριτὴς ἄριστος ἔσῃ τῶν ἄλλων, ὅτε τὰς αὐτοῦ 63
then judge best you-will-be of-the others when the your-own
ἐπισκοπῶν, λόγον ἑκάστης πράξεως ὑπὸ συνειδότι
examining (an)-account of-each deed before (your)-conscious
κριτῇ δίδως, καὶ διόρθωσιν ἐπινοεῖς τῶν ἡμαρτημένων.
judge you-give and correction you-devise of-the sins
Ἐπεὶ πῶς τοὺς ἄλλους ἐπιτιμῶν οὐκ ἐρυθριάσεις, ἐφ' οἷς
since how the others rebuking not will-you-blush at what
αὐτὸς τὰ ὅμοια ἐξαμαρτάνεις; πῶς δὲ ἐκείνους οἴει
yourself the like(-things) you-err how and them think-you
σοι διατεθῆναι, ἡνίκα ἐν οἷς ὑπεύθυνόν σε καθορῶσιν,
toward-you to-be-disposed when in what liable you they-observe
αὐτοὶ δίκας εἰσπράττεσθαι δικαιοῦνται;
themselves penalties to-be-exacted they-are-condemned
Ἐπαίνει τὰς ἀρίστους πράξεις· ἐπαίνει δὲ, μὴ λόγῳ μόνον, 64
praise the best deeds praise and not in-word only
ἀλλὰ δι' ὧν αὐτός τε μάλιστα τὰ ὅμοια πράττοις,
but through what yourself both especially the like(-things) you-may-do
καὶ δι' ὧν τοὺς μιμητὰς τῶν λοιπῶν προκρίνων,
and through what the imitators than-the rest preferring
ἐντίμους ἀποδεικνύοις. Τὸ μὲν γὰρ καὶ τῶν τυχόντων,
honored you-may-show the indeed for (is)-also of-the ordinary
τὸ δὲ τῶν ἄρχειν ἀξίων.
the(-other) and of-the(-ones) to-rule worthy
Προνόει πάντων, τῶν μὲν ἐπιεικῶν, ὡς ἂν ἄριστοι 65
provide-for all of-the indeed reasonable that — best
γένωνται, καὶ τῆς ὀφειλομένης αὐτοῖς ἀπολαύσωσι τιμῆς
they-may-become and the owed to-them may-enjoy honor
καὶ τοῦ προνομίου· τῶν δὲ μὴ τοιούτων, ὡς ἂν βελτιωθῶσι
and the privilege of-the and not such that — they-may-be-bettered

τὰς γνώμας, καὶ τῆς ἀπὸ τῶν νόμων ῥυσθῶσιν ἀτιμίας.
(in)-the minds and from-the from the laws be-rescued dishonor
Τοῦτο γὰρ ὡς ἀληθῶς ἀρχῆς ἐννόμου καὶ ἐπιστασίας ἔργον.
this for (is)-as truly of-rule lawful and of-presidency (the)-work
66 Τὰς πρὸς ἀλλήλους τῶν ἀρχομένων ἔρεις εἰς τοὺς
the toward one-another of-the ruled strifes onto the
πολεμίους τρέπων, ἐν τοῖς ὑπὲρ τῆς πατρίδος ἀγῶσι
enemies turning in the for the fatherland contests
μετατίθει· τυράννων μὲν γὰρ, στασιάζειν τὰ πλήθη·
transfer of-tyrants indeed for (it-is)-to-set-at-faction the multitudes
ἐν γὰρ τῇ κοινῇ φθορᾷ καὶ διχοστασίᾳ ἡ τυραννὶς τὴν
in for the common destruction and dissension the tyranny the
ἀσφάλειαν ἔχει· ἄρχοντος δὲ καὶ βασιλέως, ἀστασίαστον
safety has of-a-ruler but and of-a-king free-of-faction
συντηρεῖν τὴν ὁμόνοιαν τῶν ὑπηκόων· ἐν γὰρ τῇ τῶν
to-keep the concord of-the subjects in for the of-the
ἀρχομένων σωτηρίᾳ τὸ βάθρον αὐτοῖς πέπηγε τῆς ἐξουσίας.
ruled safety the foundation for-them is-fixed of-the authority
67 Ὅσπερ δεῖ τὸν ἄρχοντα φοβερὸν εἶναι τοῖς
as (it)-is-needful the ruler fearsome to-be to-the(-ones)
ἀδικοῦσιν, οὕτω φυλακὴν καὶ ἀσφάλειαν τῶν μηδὲν
doing-wrong so (a)-guard and safety of-the(-ones) nothing
ἀδικούντων, ἀλλὰ κατὰ τοὺς νόμους πολιτευομένων.
doing-wrong but according-to the laws living
68 Τρία ἐστὶν ἐν ἀνθρώποις, τιμωρία, ψόγος, ἔπαινος,
three(-things) are among men punishment blame praise
εἰ βούλει δὲ, καὶ εὐεργεσία· ἀλλὰ τῆς μὲν οἱ
if you-wish and also benefaction but of-the(-one) indeed the
πολέμιοι ἄξιοι· ψόγου δὲ, οἱ μέτρια τῶν
enemies (are)-worthy of-blame and the(-ones) moderate(-things) of-the
πολιτῶν ἁμαρτάνοντες· ἐπαίνου δὲ καὶ εὐεργεσίας, οἱ
citizens sinning of-praise and also benefaction the(-ones)

διαφέροντες κατορθώμασι. Εἰ δέ τις εἰς τὴν τῶν
excelling in-right-deeds if and someone into the of-the
πολεμίων τόλμαν καὶ μίμησιν ἐξαχθείη, αὐτὸς καὶ τὴν
enemies daring and imitation be-led-out himself also the
ἐκείνων ποινὴν εἰς ἑαυτὸν ἐπιστρέφει. Ὁ δέ τι τούτων
their penalty upon himself turns the(-one) and any of-these
ἀμείβων, καὶ τὴν διάταξιν ἐπαλλάσσων, οὗτος ἐχθρὸς
exchanging and the arrangement altering this(-man) (is)-an-enemy
τῆς πολιτείας πλέον ἢ οἱ πολέμιοι. Ὅ τε γὰρ τοὺς
of-the commonwealth more than the enemies the(-one) both for the
πολεμίους εὐεργετῶν, προδότης· ὅ τε τοὺς φαύλους
enemies benefiting (is)-a-traitor the(-one) both the base
ἐπαινῶν, τὴν πόλιν ἀνατρέπει· ἐπὶ κακίαν γὰρ παρακαλεῖ
praising the city overturns to wickedness for he-calls
τοὺς πολίτας· καὶ ὁ τοὺς κατορθοῦντας μὴ τιμῶν,
the citizens and the(-one) the(-ones) doing-right not honoring
εἰς τὴν αὐτὴν ἀκοσμίαν τὴν πολιτείαν καταστρέφει.
into the same disorder the commonwealth overthrows
Χαλεπὸν μὲν φόβον ἀγάπῃ κεράσαι. Οἱ γὰρ φιλοῦντες 69
hard indeed fear with-love to-mix the(-ones) for loving
ὡς ἐπίπαν τὸ δέος οὐκ ἔχουσι, καὶ οἱ δεδιότες
as for-the-most-part the dread not have and the(-ones) fearing
φιλεῖν οὐκ ἐθέλουσι. Σὺ δὲ δίελε· καὶ τοὺς μὲν ἀρίστους
to-love not are-willing you but divide and the indeed best
φιλεῖν παρασκεύασον· οὐδὲν γὰρ δεῖ δέους ἐπὶ τοῖς
to-love make nothing for (is)-needful of-dread over the
τοιούτοις. Τοὺς δ' ἄλλους ἀνάγκη φοβεῖν, ἵνα τῶν
such(-men) the but others (it-is)-necessary to-frighten that from-the
φαύλων ἀπέχωνται. Φοβήσονται δὲ χωρὶς μίσους ἂν μὴ
base(-things) they-may-abstain they-will-fear and without hatred if not
μετ' ὀργῆς ὁρῶσι κολάζοντα, ἀλλ' ὡς πατέρα παιδεύοντα,
with anger they-see (you)-punishing but as (a)-father chastising

καὶ ἐν μὲν τοῖς ἁμαρτήμασιν οὐχ ἡδέως τιμωρούμενον, ἐν
and in indeed the sins not gladly punishing in
δὲ ταῖς συμφοραῖς καὶ τοῖς δυστυχήμασιν ἀπροφασίστως
but the calamities and the misfortunes unhesitatingly
ἐπικουρεῖν προθυμούμενον.
to-help eager

70 Οἱ χρώμενοι τοῖς ἐκ φύσεως πλεονεκτήμασιν εἰς
the(-ones) using the from nature advantages for
πονηρίας ὑπηρεσίαν, ἀλλὰ μὴ πρὸς τὴν τῶν πλησίον
of-wickedness service but not toward the of-the neighbors
εὐεργεσίαν, οὗτοι καὶ τὴν φύσιν φαυλίζουσι, καὶ τῷ
benefaction these both the nature disparage and to-the
Δημιουργῷ τὴν περὶ αὐτοὺς φιλοτιμίαν εἰς ὕβριν καὶ
Creator the toward them munificence into outrage and
ἀχαριστίαν περιτρέπουσιν.
ingratitude turn

71 Ὥσπερ αἰσχρὸν καὶ ταπεινὸν, πρὸς ἡδονὴν ὁμιλεῖν
as (it-is)-shameful and lowly for pleasure to-converse
τῷ πλήθει, οὕτως ἐπικίνδυνον καὶ σφαλερὸν, ἀεὶ
with-the multitude so (it-is)-dangerous and risky always
σοβαρεύεσθαι καὶ ὑπέρογκον ὁρᾶσθαι. Δεῖ τοιγαροῦν
to-be-haughty and overbearing to-be-seen (it)-is-needful therefore
ἑκάτερον ἄκρον φυγόντα, ὡς ἀρετὴν, τὴν μεσότητα
each extreme having-fled as virtue the mean
διώκειν, καὶ καιροῖς ἰδίοις τὸ πρόσφορον ἀπονέμειν.
to-pursue and to-times own the fitting to-assign

72 Προπετὴς ὅρκος, πρόχειρος ἐπιορκία. Ἄλλως τε δὲ
(a)-rash oath (is)-ready perjury otherwise both and
καὶ τὸ ὀμνύειν ὅλως, ἤθους οὐκ εὖ βεβηκότος, οὐδὲ
also the to-swear at-all of-character not well set nor
φρονήματος εὐγενοῦς· ὁ δὲ εὐσταθὴς καὶ μεγαλόψυχος
of-spirit noble the and stable and great-souled

ἀνὴρ αἰσχυνθήσεται τοὺς λόγους ὅρκῳ πιστοὺς ἀποφαίνειν,
man will-be-ashamed the words by-oath trustworthy to-show
καὶ τὴν διὰ τῶν οἰκείων τρόπων πίστιν ἀτιμάζειν. Λίαν
and royal perverting and and also the in-lawful
γάμῳ πρεσβυτέρους διαπρέποντας, οἱ πολλὰς κόρας
marriage presbyters distinguished they-who many girls
χωρὶς ἀνδρὸς γυναῖκας δεικνύντες, καὶ γυναῖκας παῖδας
without husband (as)-wives showing and women children
ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρα θεάσασθαι,
rearing of-whom not it-is(-possible) (a)-father to-behold
οὗτοι, τοὺς ὡς ἀληθῶς Θεοῦ ἱερεῖς, μυσάττεσθαί τε, καὶ
these the as truly of-God priests to-abhor both and
ἀποστρέφεσθαι, παρεσκεύασαν· τῆς Μανοῦ γεωργίας, ἐν
to-turn-from made(-them) of-the of-Mani husbandry in
αὐτοῖς, τὰ σπέρματα κατασπείροντες, καὶ ψυχὰς ἄρτι
them the seeds sowing-down and souls just
βλαστάνειν ἀρξαμένας τὸν σπόρον τῆς εὐσεβείας, τῇ
to-sprout having-begun the sowing of-the piety with-the
τῶν ζιζανίων ἐπισπορᾷ λυμαινόμενοι.
of-the tares over-sowing ruining
Ἀλλά γε δὴ, καὶ τοὺς ὑπὸ πρεσβυτέρων μύρῳ 6
but indeed indeed also the(-ones) by presbyters with-chrism
χρισθέντας, ἀναμυρίζειν αὐτοὶ οὐ πεφρίκασιν· ἐπισκόπους
anointed to-re-anoint they not shuddered bishops
ἑαυτοὺς ἀναγορεύοντες, καὶ τὸ τῶν πρεσβυτέρων χρίσμα,
themselves proclaiming and the of-the presbyters anointing
ἄχρηστον εἶναι, καὶ εἰς μάτην ἐπιτελεῖσθαι, τερατευόμενοι.
useless to-be and in vain to-be-performed telling-marvels
Ἆρ' ἔστι, ὃς τηλικαύτην ἀκοῇ παρειληφὼν ἄνοιαν, 7
then is-there(-anyone) who so-great by-hearing having-received folly
ἣν κατατολμᾷν οἱ παράφρονες οὐκ ἐνάρκησαν; τοὺς
which to-dare the deranged(-men) not grew-numb the(-ones)

ἅπαξ μύρῳ χρισθέντας ἀναχρίοντες, καὶ τὰ τῶν
once with-chrism anointed re-anointing and the of-the
χριστιανῶν ὑπερφυῆ καὶ θεῖα μυστήρια, εἰς λῆρον μακρὸν,
Christians supernatural and divine mysteries into nonsense long
καὶ πλατὺν ἐξορχούμενοι γέλωτα. Καὶ τόγε σοφὸν τῶν
and broad dancing-away(-into) laughter and indeed (the)-wisdom of-the
ὡς ἀληθῶς ἀμυήτων· Οὐ γὰρ ἔξεστι, φασὶν, ἱερεῦσι
as truly uninitiated not for it-is-permitted they-say to-priests
τοὺς τελουμένους μύρῳ ἁγιάζειν· ἀρχιερεῦσι γὰρ μόνοις
the(-ones) being-initiated with-chrism to-sanctify to-high-priests for alone
ἐνομίσθη· πόθεν ὁ νόμος; τίς δ' ὁ νομοθέτης; ποῖος τῶν
it-was-customary whence the law who and the lawgiver which of-the
ἀποστόλων; τῶν πατέρων δέ; ἀλλὰ τῶν συνόδων; ἢ ποῦ καὶ
apostles of-the fathers and but of-the synods or where and
πότε συστᾶσα; τίνων δὲ κρατήσασα ψήφοις; οὐκ ἔξεστιν
when having-convened of-what and having-prevailed by-votes not it-is-permitted
ἱερεῖ μύρῳ τοὺς βαπτιζομένους σφραγίζειν, οὐκοῦν
to-(a)-priest with-chrism the(-ones) being-baptized to-seal then
οὐδὲ βαπτίζειν ὅλως, οὐδὲ ἱερᾶσθαι· ἄρα ἵνα σοι μηδὲ
not-even to-baptize at-all nor to-serve-as-priest then that for-you not-even
ἡμίτομος ἱερεὺς, ἀλλ' ὁλόκληρος, εἰς ἀνίερον εἴη κλῆρον
half-cut (a)-priest but entire into (an)-unholy may-be lot
ἀπεληλαμένος. ἱερουργεῖ τὸ δεσποτικὸν σῶμα καὶ αἷμα
driven he-celebrates the Master's body and blood
Χριστοῦ, καὶ τοὺς πάλαι μυσταγωγηθέντας, δι' αὐτῶν
of-Christ and the(-ones) long-ago initiated through them
καθαγιάζει, πῶς οὐχ ἁγιάσει μύρῳ χρίων τοὺς νῦν
he-sanctifies how not will-he-sanctify with-chrism anointing the(-ones) now
τελουμένους; βαπτίζει ὁ ἱερεὺς, καθάρσιον δῶρον τῷ
being-initiated baptizes the priest (a)-cleansing gift to-the(-one)
βαπτιζομένῳ τελεσιουργῶν, πῶς, ἧς τελεσιουργὸς αὐτὸς
being-baptized perfecting how of-which perfecter he-himself

ὑπάρχει καθάρσεως, ἀφαιρήσεις αὐτοῦ τὴν φυλακὴν καὶ
is of-cleansing will-you-take-away from-him the guard and
σφραγίδα; ἀλλ' ἀφαιρεῖς τὴν σφραγίδα, μηδ' ὑπηρετεῖν
seal but you-take-away the seal nor to-serve
ἐπιτρέψῃς τῷ δώρῳ, μηδ' ἐν αὐτῷ τινας τελεσιουργεῖν,
permit to-the gift nor in it any to-perfect
ἵνα σε γυμνοῖς, ὁ σὸς ἱερεὺς, ἐνδιαπρέπων ὀνόματι, τῆς
that you bare-(things) the your priest distinguished-in name of-the
αὐτῆς αὐτῷ χοροστασίας κορυφαῖον δείξῃ, καὶ ἐπίσκοπον.
same with-him choir leader may-show and bishop
Ἀλλὰ γὰρ οὐχὶ μόνον εἰς ταῦτα παρανομεῖν ἐξεμάνησαν, 8
but for not only to these(-things) to-transgress they-raged
ἀλλὰ καὶ εἴ τις κακῶν ἐπικορωνὶς, εἰς ταύτην ἀνέδραμον.
but also if any of-evils crowning-stroke to this they-ran-up
Πρὸς γάρ τοι τοῖς εἰρημένοις ἀτοπήμασι, καὶ τὸ
in-addition-to for indeed the said absurdities also the
ἱερὸν καὶ ἅγιον σύμβολον, ὃ πᾶσι τοῖς συνοδικοῖς
holy and sacred creed which by-all the synodal
καὶ οἰκουμενικοῖς ψηφίσμασιν, ἄμαχον ἔχει τὴν ἰσχὺν,
and ecumenical decrees invincible has the strength
νόθοις λογισμοῖς, καὶ παρεγγράπτοις λόγοις, καὶ θράσους
with-bastard reasonings and interpolated words and of-boldness
ὑπερβολῇ, κιβδηλεύειν ἐπεχείρησαν· ὦ τῶν τοῦ πονηροῦ
by-excess to-counterfeit they-attempted O(-for) the of-the evil(-one)
μηχανημάτων· τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ πατρὸς μόνον,
contrivances the spirit the holy not from the father only
ἀλλά γε καὶ ἐκ τοῦ υἱοῦ, ἐκπορεύεσθαι, καινολογήσαντες.
but indeed also from the son to-proceed innovating
Τίς ποτε τοιαύτην, παρὰ τῶν πώποτε ἀσεβησάντων, 9
who ever such from the(-ones) ever having-been-impious
φωνὴν ἤκουσεν ῥαγεῖσαν; ποῖος σκολιὸς ὄφις εἰς τὰς ἐκείνων
(a)-voice heard bursting-out what-sort crooked serpent into the their

καρδίας τοῦτο ἠρεύξατο; Τίς ὅλως ἀνάσχοιτο, τῶν ἐν
hearts this belched-out who at-all would-endure of-the(-ones) among
χριστιανοῖς τελούντων, ἐπὶ τῆς ἁγίας τριάδος δύο εἰσάγειν
Christians being-counted in the holy trinity two to-bring-in
αἴτια· υἱοῦ μὲν καὶ πνεύματος, τὸν πατέρα· τοῦ
causes of-(the)-son indeed and spirit the father of-the
πνεύματος δὲ πάλιν, τὸν υἱόν· καὶ εἰς διθεΐαν τὴν μοναρχίαν
spirit and again the son and into ditheism the monarchy
λύειν, καὶ μηδὲ ἧττον τῆς Ἑλληνικῆς μυθολογίας, τὴν
to-dissolve and not-even less than-the Greek mythology the
τῶν Χριστιανῶν σπαράττειν θεολογίαν, καὶ τῆς ὑπερουσίου
of-the Christians to-tear theology and of-the superessential
καὶ μοναρχικῆς Τριάδος ἐξυβρίζειν τὸ ἀξίωμα· Διὰ τί δὲ
and monarchic Trinity to-outrage the dignity because-of what and
καὶ ἐκπορευθείη τοῦ Υἱοῦ τὸ Πνεῦμα; Εἰ γὰρ ἡ ἐκ τοῦ
also would-proceed from-the Son the Spirit if for the from the
Πατρὸς ἐκπόρευσις τελεία (τελεία δὲ, ὅτι Θεὸς τέλειος,
Father procession (is)-perfect perfect and because God (is)-perfect
ἐκ Θεοῦ τελείου) τίς ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, καὶ
from God perfect what (is)-the from the Son procession and
διὰ τί; Περιττὸν γὰρ ἂν εἴη τοῦτο, καὶ μάταιον.
because-of what superfluous for — would-be this and vain
10 Ἔτι δὲ, εἰ ἐκπορεύεται τοῦ Υἱοῦ τὸ Πνεῦμα, ὥσπερ ἐκ
still and if proceeds from-the Son the Spirit as from
Πατρός· τί μὴ καὶ ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος γεννᾶται,
(the)-Father why not also the Son from the Spirit is-begotten
ὥσπερ ἐκ Πατρός; ἵνα εἴη πάντα τοῖς ἀσεβοῦσιν
as from (the)-Father that may-be all(-things) to-the impious
ἀσεβῆ, καὶ αἱ γνῶμαι, καὶ τὰ ῥήματα· καὶ μηδὲν αὐτοῖς
impious both the minds and the words and nothing to-them
ἀτόλμητον ὑπολίποιτο.
undared may-be-left

Σκόπει δὲ κἀκεῖνο· εἰ γὰρ ἐν ᾧ τοῦ Πατρὸς ἐκπορεύεται 11
consider and that-too if for in which from-the Father proceeds
τὸ Πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ· ὡσαύτως
the Spirit the property is-recognized its likewise
δὲ, καὶ ἐν ᾧ γεννᾶται ὁ Υἱὸς, ἡ τοῦ Υἱοῦ.
and also in which is-begotten the Son the(-property) of-the Son
Ἐκπορεύεται δὲ, ὡς ὁ ἐκείνων λῆρος, καὶ τὸ Πνεῦμα ἐκ
proceeds and as the their nonsense(-goes) also the Spirit from
τοῦ Υἱοῦ. Πλείοσιν ἄρα ἰδιότησιν διαστέλλεται τὸ Πνεῦμα
the Son by-more then properties is-distinguished the Spirit
τοῦ Πατρὸς, ἤπερ ὁ Υἱός. Κοινὸν μὲν γὰρ Πατρὶ καὶ
from-the Father than the Son common indeed for to-Father and
Υἱῷ, ἡ ἐξ αὐτῶν τοῦ Πνεύματος πρόοδος· ἰδία δὲ
Son (is)-the from them of-the Spirit procession own and
τοῦ Πνεύματος, ἥ τε ἐκ τοῦ Πατρὸς ἐκπόρευσις, καὶ
of-the Spirit (are)-the both from the Father procession and
μὴν καὶ ἡ ἐκ τοῦ Υἱοῦ. Εἰ δὲ πλείοσιν διαφοραῖς
indeed also the(-one) from the Son if and by-more differences
διαστέλλεται τὸ Πνεῦμα, ἤπερ ὁ Υἱὸς, ἐγγυτέρω ἂν εἴη
is-distinguished the Spirit than the Son nearer — would-be
τῆς πατρικῆς οὐσίας ὁ Υἱὸς, ἤπερ τὸ Πνεῦμα· καὶ οὕτως
to-the paternal being the Son than the Spirit and thus
ἡ Μακεδονίου πάλιν, κατὰ τοῦ Πνεύματος, παρακύψει
the of-Macedonius again against the Spirit will-peep-out
τόλμα, τὸ ἐκείνου ὑποδυομένη δρᾶμα, καὶ τὴν σκηνήν.
daring the his taking-up drama and the stage
Ἄλλως τε δὲ, εἰ πάντα τὰ κοινὰ Πατρὸς καὶ 12
otherwise both and if all the common(-things) of-Father and
Υἱοῦ, καὶ τοῦ Πνεύματος πάντως ὑπάρχει κοινά· ὡς τὸ
Son also of-the Spirit wholly are common as the
Θεὸς, τὸ Βασιλεὺς, τὸ Δημιουργὸς, τὸ Παντοκράτωρ, τὸ
God the King the Creator the Almighty the

Ὑπερούσιον, τὸ Ἁπλοῦν, τὸ Ἀσχημάτιστον, τὸ Ἀσώματον,
Superessential the Simple the Formless the Bodiless
τὸ Ἀόρατον, ἁπλῶς τὰ ἄλλα πάντα· κοινὸν δὲ Πατρὸς
the Invisible simply the other(-things) all common and of-Father
καὶ Υἱοῦ, ἡ τοῦ Πνεύματος, ἐξ αὐτῶν, πρόοδος· καὶ
and Son (is)-the of-the Spirit from them procession also
ἐξ ἑαυτοῦ ἄρα ἐκπορευθήσεται τὸ Πνεῦμα· καὶ ἀρχὴ
from himself then will-proceed the Spirit and principle
ἔσται αὐτὸ ἑαυτοῦ, καὶ αἴτιον ἅμα καὶ αἰτιατόν. Ὅπερ
will-be he of-himself and cause at-once and caused which
οὐδ' οἱ τῶν Ἑλλήνων μῦθοι ἀνεπλάσαντο.
not-even the of-the Greeks myths fashioned

13 Ἀλλὰ καὶ εἰ μόνου Πνεύματός ἐστι, τὸ εἰς ἀρχὰς
but also if alone of-(the)-Spirit it-is the to principles
ἀναφέρεσθαι διαφόρους, πῶς οὐκ ἔστι μόνου Πνεύματος,
to-be-referred different how not is-it alone of-(the)-Spirit
τὸ πολύαρχον ἔχειν ἀρχήν;
the many-principled to-have (as)-principle

14 Ἔτι δὲ, εἰ ἐν οἷς Πατρὶ καὶ Υἱῷ κοινωνίαν ἐκαινούργησαν,
still and if in what to-Father and Son community they-newly-made
τὸ Πνεῦμα τούτοις ἀποτειχίζουσιν· Πατὴρ δὲ κατ' οὐσίαν
the Spirit from-these they-wall-off (the)-Father and in being
Υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων, εἰς κοινωνίαν
with-(the)-Son but not in any of-the properties into community
συνάπτεται· τῆς κατ' οὐσίαν ἄρα συγγενείας, τὸ Πνεῦμα
is-joined from-the in being then kinship the Spirit
περιορίζουσιν.
they-bound-off

15 Ὁρᾷς, ὡς μάτην οὗτοι, μᾶλλον δ' εἰς πρόχειρον θήραν
do-you-see how in-vain these rather but for (a)-ready hunt
τῶν πολλῶν, τὸ τῶν Χριστιανῶν ἑαυτοῖς ἐπέθεσαν
of-the many the of-the Christians on-themselves put

ὄνομα. Ἐκπορεύεται τὸ Πνεῦμα τοῦ Υἱοῦ· πόθεν ἤκουσας
name proceeds the Spirit from-the Son whence did-you-hear
τοῦτο; ἐκ ποίων Εὐαγγελιστῶν τὴν φωνὴν ἔχεις ταύτην;
this from what-sort Evangelists the voice have-you this
ποίας συνόδου τὸ βλάσφημον τοῦτο ῥῆμα;
of-what-sort synod (is)-the blasphemous this word
Ὁ Κύριος καὶ Θεὸς ἡμῶν φησιν, Τὸ Πνεῦμα, ὃ παρὰ τοῦ 16
the Lord and God our says the Spirit which from the
Πατρὸς ἐκπορεύεται· οἱ δὲ τῆς καινῆς ταύτης δυσσεβείας
Father proceeds the(-men) and of-the new this impiety
πατέρες, Τὸ Πνεῦμα, φησὶν, ὃ παρὰ τοῦ Υἱοῦ ἐκπορεύεται.
fathers the Spirit says(-he) which from the Son proceeds
Τίς οὐ κλείσει τὰ ὦτα πρὸς τὴν ὑπερβολὴν τῆς
who not will-shut the ears against the excess of-the
βλασφημίας ταύτης; Αὕτη κατὰ τῶν Εὐαγγελίων ἵσταται,
blasphemy this it against the Gospels stands
πρὸς τὰς ἁγίας παρατάσσεται συνόδους, τοὺς μακαρίους
against the holy is-arrayed synods the blessed
καὶ ἁγίους παραγράφεται. Πατέρας, τὸν μέγαν Ἀθανάσιον,
and holy disowns Fathers the great Athanasius
τὸν ἐν θεολογίᾳ περιβόητον Γρηγόριον, τὴν Βασίλειον
the(-one) in theology renowned Gregory the Royal
τῆς Ἐκκλησίας στολὴν, τὸν μέγαν Βασίλειον, τὸ χρυσοῦν
of-the Church robe the great Basil the golden
τῆς οἰκουμένης στόμα, τὸ τῆς σοφίας πέλαγος, τὸν ὡς
of-the world mouth the of-the wisdom sea the as
ἀληθῶς Χρυσόστομον. Καὶ τί λέγω τὸν δεῖνα, ἢ τὸν δεῖνα;
truly Chrysostom and why do-I-say the so-and-so or the so-and-so
κατὰ πάντων ὁμοῦ τῶν ἁγίων προφητῶν, ἀποστόλων,
against all together the holy prophets apostles

ἱεραρχῶν, μαρτύρων, καὶ αὐτῶν τῶν δεσποτικῶν φωνῶν,
hierarchs martyrs and the-very the Master's words
ἡ βλάσφημος αὕτη καὶ θεόμαχος φωνὴ ἐξοπλίζεται.
the blasphemous this and God-fighting voice arms-itself

17 Τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται; πότερον τὴν αὐτὴν
the Spirit from the Son proceeds whether the same
ἐκπόρευσιν, ἢ τῆς πατρῴας ἀντίθετον; Εἰ μὲν γὰρ τὴν
procession or to-the paternal opposite if indeed for the
αὐτὴν, πῶς οὐ κοινοῦνται αἱ ἰδιότητες; αἷς καὶ μόναις ἡ
same how not are-made-common the properties by-which also alone the
Τριὰς, Τριὰς εἶναι, καὶ προσκυνεῖσθαι, χαρακτηρίζεται. Εἰ δὲ
Trinity Trinity to-be and to-be-worshiped is-characterized if but
ἐκείνης ἀντίθετον, πῶς ἡμῖν οὐ Μάνεντες, καὶ Μαρκίωνες,
to-that opposite how to-us (do)-not Manichees and Marcions
τῷ ῥήματι τούτῳ, προκύπτουσι, τὴν θεόμαχον πάλιν,
with-the word this peep-out the God-fighting again
κατὰ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, γλῶσσαν προτείνοντες;
against the Father and the Son tongue holding-out

18 Πρὸς δέ γε τοῖς εἰρημένοις, εἰ ἐκ τοῦ Πατρὸς
in-addition and indeed to-the(-things) said if from the Father
μὲν ὁ Υἱὸς γεγέννηται, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς,
indeed the Son has-been-begotten the and Spirit from the Father
καὶ τοῦ Υἱοῦ, ἐκπορεύεται· ὡς εἰς δύο αἰτίας ἀναφερόμενον,
and the Son proceeds as to two causes referred
οὐδὲ τὸ σύνθετον εἶναι διαδράσειεν.
not-even the composite to-be could-it-escape

19 Ἔτι δὲ, εἰ ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς γεγέννηται, τὸ
still and if from the Father the Son has-been-begotten the
δὲ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται,
and Spirit from the Father and the Son proceeds
τίς ἡ καινοτομία τοῦ Πνεύματος, μὴ καὶ ἕτερόν
what (is)-the innovation of-the Spirit not also another

τι αὐτοῦ ἐκπεπορεῦσθαι; ὡς συνάγεσθαι, κατὰ τὴν
something from-him to-have-proceeded so-as to-be-concluded according-to the
ἐκείνων θεόμαχον γνώμην, μὴ τρεῖς, ἀλλὰ τέσσαρας τὰς
their God-fighting judgment not three but four the
ὑποστάσεις, μᾶλλον δ' ἀπείρους· τῆς τετάρτης αὐτοῖς
hypostases rather but infinite the fourth for-them
ἄλλην προβαλλούσης, κἀκείνης πάλιν ἑτέραν, μέχρις ἂν
another putting-forth and-that again another until —
εἰς τὴν ἑλληνικὴν πολυπληθίαν ἐκπέσωσι.
into the Greek multitude they-fall-out
Πρὸς δέ γε τοῖς εἰρημένοις, κἀκεῖνο ἄν τις 20
in-addition and indeed to-the(-things) said that-too — someone
ἐπισκοπήσειεν, ὡς εἴπερ ἡ τοῦ Πνεύματος, ἐκ τοῦ
might-consider that if-indeed the of-the Spirit from the
Πατρὸς, πρόοδος, εἰς ὕπαρξιν συντελεῖ· τί συνοίσει
Father procession toward existence contributes what will-it-help
τῷ Πνεύματι ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, τῆς πατρικῆς
the Spirit the from the Son procession the paternal
ἀρκούσης εἰς ὕπαρξιν; Οὐ γάρ τις, εἰς ἕτερον τι,
sufficing toward existence not for anyone to other any
τῶν περὶ τὴν οὐσίαν, συντελεῖν, κατατολμήσειε λέγειν·
of-the(-things) about the being to-contribute would-dare to-say
πάσης διπλόης, καὶ συνθέσεως, τῆς μακαρίας καὶ θείας
all doubleness and composition from-the blessed and divine
ἐκείνης φύσεως, ὡς ἀπωτάτω κειμένης.
that nature as farthest lying
Χωρὶς δὲ τῶν εἰρημένων, εἰ πᾶν ὅπερ μή ἐστι 21
apart and from-the(-things) said if all that not is
κοινὸν τῆς παντοκρατορικῆς καὶ ὁμοουσίου καὶ ὑπερφυοῦς
common of-the almighty and consubstantial and supernatural
Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν· οὐκ ἔστι δὲ ἡ τοῦ
Trinity of-one is alone of-the three not is and the of-the

Πνεύματος προβολὴ, κοινὸν τῶν τριῶν· ἑνὸς ἄρα ἐστὶν
Spirit putting-forth common of-the three of-one then it-is
μόνου τῶν τριῶν. Πότερον οὖν ἐκ τοῦ Πατρὸς φήσουσιν
alone of-the three which then from the Father will-they-say
ἐκπορεύεσθαι τὸ Πνεῦμα; καὶ πῶς οὐκ ἐξομόσονται τὴν
to-proceed the Spirit and how not will-they-forswear the
φίλην αὐτοῖς καὶ κοινὴν μυσταγωγίαν; Εἰ δὲ ἐκ τοῦ Υἱοῦ,
dear to-them and common initiation if but from the Son
τί μὴ καταρχὰς ἐθάῤῥησαν αὐτῶν ὅλην ἐκκαλύψαι τὴν
why not at-the-outset dared-they their whole to-uncover the
θεομαχίαν; ὡς οὐ μόνον τὸν Υἱὸν εἰς τὴν τοῦ Πνεύματος
God-fighting that not only the Son into the of-the Spirit
προβολὴν ἐγκαθιστῶσιν, ἀλλὰ καὶ τοῦ Πατρὸς ταύτην
putting-forth they-install but also from-the Father it
ἀφαιροῦνται· οἷς ἀκόλουθον δή που, καὶ τὴν γέννησιν
they-take-away for-whom consistent indeed perhaps also the begetting
τῇ προβολῇ συμμετατιθέντας, μηδὲ τὸν Υἱὸν ἐκ τοῦ
with-the putting-forth transposing-together not-even the Son from the
Πατρὸς, ἀλλὰ τὸν Πατέρα τερατολογεῖν ἐκ τοῦ Υἱοῦ
Father but the Father to-tell-marvels from the Son
γεγεννῆσθαι· ἵνα μὴ τῶν δυσσεβούντων μόνον, ἀλλὰ καὶ
to-have-been-begotten that not of-the impious only but also
τῶν μαινομένων ὦσιν πρωτοστάται.
of-the raving they-may-be front-rank-men

22 Ὅρα δὲ κἀντεῦθεν κατάφωρον αὐτῶν τὸ δυσσεβὲς, καὶ
see and from-here detected their the impious and
ἀνόητον, δεικνύμενον βούλημα. Ἐπεὶ γὰρ ἅπαν ὃ
senseless shown will since for every(-thing) which
θεωρεῖται καὶ λέγεται ἐν τῇ παναγίᾳ καὶ ὁμοφυεῖ καὶ
is-contemplated and is-said in the all-holy and of-one-nature and
ὑπερουσίῳ Τριάδι, ἢ κοινόν ἐστι πάντων, ἢ ἑνὸς καὶ
superessential Trinity either common is of-all or of-one and

μόνου τῶν τριῶν· ἡ δὲ τοῦ Πνεύματος προβολὴ, οὔτε
alone of-the three the and of-the Spirit putting-forth neither
κοινόν ἐστιν, ἀλλ᾽ οὐδ᾽, ὡς αὐτοί φασιν, ἑνὸς καὶ μόνου
common is but not-even as they-themselves say of-one and alone
τινὸς (ἵλεως δὲ ἡμῖν εἴη, καὶ εἰς τὰς ἐκείνων τρέποιτο
some(-one) gracious and to-us may-he-be and on the their may-it-turn
τὸ βλάσφημον κεφαλάς) οὐκ ἄρα ὅλως ἐστὶν ἐν τῇ
the blasphemy heads not then at-all is in the
ζωαρχικῇ καὶ παντελείῳ Τριάδι, ἡ τοῦ Πνεύματος προβολή.
life-originating and all-perfect Trinity the of-the Spirit putting-forth
Καὶ μυρία ἄν τις, τὴν ἄθεον αὐτῶν γνώμην 23
and countless(-things) — someone the godless their mind
διελέγχων, τοῖς εἰρημένοις ἐπιμετρήσειεν, ἃ τῆς
refuting to-the(-things) said might-add which of-the
ἐπιστολῆς ὁ νόμος οὐκ ἐᾷ νῦν ἐντάττειν, οὐδὲ
letter the law not allows now to-insert nor
παρατίθεσθαι· δι᾽ ὃ καὶ ἅπερ εἴρηται, στοιχειωδῶς
to-set-beside because-of which also what has-been-said elementarily
τε καὶ ἐν τύπῳ ἀπηγγέλθησαν τῶν κατὰ μέρος ἐλέγχων,
both and in outline were-announced of-the in part refutations
καὶ τῆς ἐν πλάτει διδασκαλίας, Θεοῦ διδόντος, εἰς τὴν
and of-the in breadth teaching with-God granting for the
κοινὴν ταμιευομένων συνέλευσιν.
common being-stored-up gathering
Ταύτην τὴν ἀσέβειαν οἱ τοῦ σκότους ἐκεῖνοι ἐπίσκοποι 24
this the impiety the of-the darkness those bishops
(ἐπισκόπους γὰρ ἑαυτοὺς ἐπεφήμιζον) μετὰ τῶν ἄλλων
bishops for themselves they-styled with the other
ἀθεμίτων, Βουλγάρων ἔθνος ἐνέσπειραν· ἦλθεν ἡ
unlawful(-things) of-Bulgarians (in-the)-nation sowed came the
τούτων φήμη εἰς τὰς ἡμετέρας ἀκοάς· ἐπλήγημεν διὰ
their report to the our ears we-were-struck through

μέσων τῶν σπλάγχνων καιρίαν πληγὴν ὡς εἴ τις
(the)-midst of-the bowels (a)-mortal blow as if someone
τὰ ἔκγονα κοιλίας αὐτοῦ, καθ' ὀφθαλμοὺς ἴδοι ὑπὸ
the offspring of-(the)-womb his before (his)-eyes should-see by
ἑρπετῶν καὶ θηρίων σπαρασσόμενά τε καὶ διασπώμενα.
creeping(-things) and beasts torn both and pulled-apart
Καὶ γὰρ οἷς κόποι, καὶ πόνοι, καὶ ἱδρῶτες, εἰς τὴν
and for for-whom toils and labors and sweats into the
ἐκείνων ἀναγέννησίν τε καὶ τελείωσιν κατεβλήθησαν·
their regeneration both and perfection were-laid-down
ἀναλόγως αὐτοῖς, συμπεσεῖν ἀφόρητον τὴν λύπην καὶ τὴν
proportionately on-them to-fall unbearable the grief and the
συμφορὰν, τῶν γεννημάτων παραπολλυμένων, ἐξεγένετο.
calamity of-the offspring perishing it-came-about
25 Οὕτω γὰρ ἐθρηνήσαμεν ἐπὶ τῷ συνενεχθέντι παθήματι,
so for we-lamented over the having-befallen suffering
ὅσον χαρᾶς ἐπληρώθημεν, τῆς παλαιᾶς πλάνης
as-much-as with-joy we-were-filled from-the old error
ἀπαλλαγέντας αὐτοῖς θεασάμενοι.
freed them having-beheld
26 Ἀλλ' ἐκείνους μὲν ἐθρηνήσαμέν τε καὶ θρηνοῦμεν, καὶ
but them indeed we-lamented both and lament and
ἀνορθωθῆναι τοῦ πτώματος οὐ δώσομεν τοῖς ὀφθαλμοῖς
to-be-set-upright from-the fall not we-shall-give to-the eyes
ἡμῶν ὕπνον, οὐδὲ τοῖς βλεφάροις νυσταγμὸν, ἕως ἂν
our sleep nor to-the eyelids slumber until —
αὐτοὺς εἰς τὸ τοῦ Κυρίου, κατὰ τὸ δυνατὸν ἡμῖν,
them into the of-the Lord according-to the possible for-us
εἰσελάσωμεν σκήνωμα.
we-drive tabernacle

Τοὺς δὲ νέους τῆς ἀποστασίας προδρόμους, τοὺς θεραπευτὰς 27
the and new of-the apostasy forerunners the servants
τοῦ ἀντικειμένου, τοὺς μυρίων ἐνόχους θανάτων, τοὺς κοινοὺς
of-the adversary the of-countless liable deaths the common
λυμεῶνας, τοὺς τὸ ἁπαλὸν ἐκεῖνο καὶ νεοσύστατον εἰς
destroyers the(-ones) the tender that and newly-formed into
τὴν εὐσέβειαν ἔθνος, τοσούτοις καὶ τηλικούτοις σπαραγμοῖς
the piety nation with-so-many and so-great tearings
διασπαράξαντας· τούτους τοὺς ἀπατεῶνας καὶ θεομάχους
having-torn-apart these the deceivers and God-fighters
συνοδικῇ καὶ θείᾳ κατεκρίναμεν ψήφῳ· οὐ νῦν αὐτῶν τὴν
by-synodal and divine we-condemned vote not now their the
ἀπόφασιν καθορίζοντες, ἀλλ' ἐκ τῶν ἤδη συνόδων, καὶ
sentence defining but from the already synods and
ἀποστολικῶν θεσμῶν, τὴν προωρισμένην αὐτοῖς καταδίκην
apostolic laws the predetermined for-them condemnation
ὑπεκφαίνοντες, καὶ πᾶσι ποιοῦντες ἐπίδηλον.
revealing and to-all making evident
Πέφυκε γὰρ τὸ ἀνθρώπινον, οὐχ οὕτω ταῖς παρελθούσαις 28
is-by-nature for the human(-race) not so by-the past
τιμωρίαις ἀσφαλίζεσθαι, ὡς ταῖς ὁρωμέναις σωφρονίζεσθαι·
punishments to-be-made-safe as by-the seen to-be-chastened
καὶ τῶν φθασάντων ὑπάρχει βεβαίωσις, ἡ τῶν
and of-the (things)-gone-before is (the)-confirmation the of-the
ἐνεστηκότων συμφώνησις· Οὕτω δι' ὃ τούτους
present agreement thus because-of which these
ἐπιμένοντας αὐτῶν τῇ πολυτρόπῳ πλάνῃ, πάσης ἀγέλης
persisting their in-the manifold error from-every flock
Χριστιανῶν ἐκκηρύττους ἐποιησάμεθα· καὶ γὰρ καὶ ὁ
of-Christians proscribed we-made and for also the
τῶν ἁγίων ἀποστόλων τέταρτος καὶ ἑξηκοστὸς κανὼν,
of-the holy apostles fourth and sixtieth canon

τοὺς ἐν τοῖς Σάββασιν νηστείαν ἐπιτηδεύοντας, ὧδε
the(-ones) on the Sabbaths (a)-fast practicing thus
πως ἀποῤῥαπίζων φησίν.
somehow rebuffing says

29 Εἴ τις κληρικὸς εὑρεθείη τὴν Κυριακὴν ἡμέραν νηστεύων,
if any cleric be-found the Lord's day fasting
ἢ τὸ Σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ
or the Sabbath except the one only let-him-be-deposed if but
λαϊκὸς εἴη, ἀφοριζέσθω. Ναὶ δὴ καὶ ὁ τῆς ἁγίας
(a)-layman he-be let-him-be-excommunicated yes indeed also the of-the holy
καὶ οἰκουμενικῆς ἕκτης συνόδου πέμπτος καὶ πεντηκοστὸς
and ecumenical sixth synod fifth and fiftieth
κανὼν οὕτω πως ἀποφαινόμενος·
canon thus somehow declaring

30 Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει, ἐν ταῖς
since we-have-learned the(-ones) in the of-Romans city in the
ἁγίαις τῆς τεσσαρακοστῆς νηστείαις, τοῖς ταύτης Σάββασι
holy of-the Lent fasts on-the its Sabbaths
νηστεύειν, παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν
to-fast contrary-to the handed-down ecclesiastical
ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν
sequence it-seemed-good to-the holy synod so-that to-prevail
καὶ ἐπὶ τὴν Ῥωμαίων Ἐκκλησίαν, ἀπαρασαλεύτως, τὸν
also over the of-Romans Church unshakably the
κανόνα τὸν λέγοντα, «Εἴ τις κληρικὸς εὑρεθῇ τῇ ἁγίᾳ
canon the(-one) saying if any cleric be-found on-the holy
Κυριακῇ νηστεύων, ἢ τὸ Σάββατον, πλὴν τοῦ ἑνὸς καὶ
Lord's(-day) fasting or the Sabbath except the one and
μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω.»
only let-him-be-deposed if but (a)-layman he-be let-him-be-excommunicated

Ἀλλά γε δὴ καὶ ὁ τῆς ἐν Γάγγρᾳ συνόδου, περὶ 31
but indeed indeed also the of-the in Gangra synod about
τῶν τὸν γάμον βδελυσσομένων, κανὼν τέταρτος
the(-ones) the marriage abhorring canon fourth
ταῦτά φησιν· Εἴ τις διακρίνοιτο παρὰ πρεσβυτέρου
these(-things) says if anyone should-make-distinction regarding (a)-presbyter
γεγαμηκότος, ὡς μὴ χρῆναι, λειτουργήσαντος αὐτοῦ,
married that not (it-is)-needful having-officiated him
προσφορὰς μεταλαμβάνειν, ἀνάθεμα ἔστω. Ὡσαύτως δὲ
offerings to-partake anathema let-him-be likewise and
ψῆφον ὁμόφωνον φέρει κατ᾽ αὐτῶν, καὶ ἡ ἕκτη σύνοδος,
(a)-vote unanimous brings against them also the sixth synod
τοῦτον ἀναγράφουσα τὸν τρόπον· Ἐπειδὴ ἐν τῇ Ῥωμαίων
this writing-up the way since in the of-Romans
Ἐκκλησίᾳ, ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν,
Church in order of-canon to-have-been-handed-down we-learned
τοὺς μέλλοντας διακόνου, ἢ πρεσβυτέρου ἀξιοῦσθαι
the(-ones) going-to of-deacon or of-presbyter to-be-deemed-worthy
χειροτονίας, καθομολογεῖν, ὡς οὐκέτι ταῖς αὐτῶν
ordination to-profess that no-longer with-the their
συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες
are-joined wives we the ancient following
κανόνι, τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν
canon of-the apostolic exactness and order the of-the
ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια, καὶ ἀπὸ τοῦ
holy men according-to laws cohabitations also from the
νῦν ἐῤῥῶσθαι βουλόμεθα· μηδαμῶς αὐτῶν τὴν πρὸς
now to-be-valid we-wish in-no-way their the with
γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς
wives union dissolving or depriving them
τῆς πρὸς ἀλλήλους, κατὰ καιρὸν τὸν προσήκοντα, ὁμιλίας.
of-the with one-another at time the fitting converse

Ὥστε εἴ τις ἄξιος εὑρεθῇ πρὸς χειροτονίαν διακόνου ἢ
so-that if anyone worthy be-found for ordination of-deacon or
ὑποδιακόνου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τὸν τοιοῦτον
of-subdeacon this(-man) in-no-way let-be-hindered to the such
βαθμὸν ἐμβιβάζεσθαι, γαμετῇ συνοικῶν νομίμῳ· μήτε
rank to-be-brought-up with-(a)-wife living lawful nor
μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν,
indeed in the of-the ordination time let-him-be-required to-profess
ὡς ἀποστήσεται τῆς νομίμου, πρὸς τὴν οἰκείαν γαμετὴν,
that be-will-withdraw from-the lawful with the own wife
ὁμιλίας. Ἵνα μὴ ἐντεῦθεν, τὸν ἐκ Θεοῦ νομοθετηθέντα
converse that not hence the by God legislated
καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον, καθυβρίζειν
and blessed by-the his presence marriage to-outrage
ἐκβιασθῶμεν, τῆς τοῦ Εὐαγγελίου φωνῆς ἐκβοώσης, «Οὓς ὁ
we-be-forced the of-the Gospel voice crying-out whom —
Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω·» καὶ τοῦ Ἀποστόλου
God joined (let)-man not separate and the Apostle
διδάσκοντος, «Τίμιον τὸν γάμον ἐν πᾶσι, καὶ Τὴν κοίτην
teaching honorable the marriage in all and the bed
ἀμίαντον, καὶ, Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν.» Εἴ
undefiled and you-are-bound to-(a)-wife not seek loosing if
τις οὖν τολμήσει, παρὰ τοὺς ἀποστολικοὺς κανόνας
anyone then shall-dare contrary-to the apostolic canons
κινούμενος, τινὰ τῶν ἱερωμένων, πρεσβύτερον, φαμὲν,
moved any of-the(-ones) in-holy-orders presbyter we-say
ἢ διάκονον, ἢ ὑποδιάκονον, ἀποστερεῖν τῆς πρὸς τὴν
or deacon or subdeacon to-deprive of-the with the
νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω·
lawful wife union both and fellowship let-him-be-deposed
ὡσαύτως, καὶ εἴ τις πρεσβύτερος ἢ διάκονος τὴν αὐτοῦ
likewise also if any presbyter or deacon the his

γυναῖκα, προφάσει εὐλαβείας, ἐκβάλλει, ἀφοριζέσθω·
wife by-pretext of-piety casts-out let-him-be-excommunicated
ἐπιμένων δὲ, καθαιρείσθω.
persisting and let-him-be-deposed

Ἡ δὲ κατάλυσις τῆς πρώτης ἑβδομάδος, καὶ ὁ ἀναμυρισμὸς 32
the and dissolution of-the first week and the re-anointing
τῶν ἤδη βεβαπτισμένων, καὶ μεμυρισμένων, οὐδὲ κανόνων,
of-the already baptized and anointed not-even canons
οἶμαι, δεήσεται εἰς κατάγνωσιν, αὐτόθεν καὶ μόνης τῆς
I-think will-need for condemnation at-once and alone of-the
διηγήσεως πᾶσαν ὑπερβολὴν ἐκνικώσης δυσσεβήματος.
narration all excess surpassing of-impiety

Οὐ μὴν ἀλλὰ καὶ ἡ κατὰ τοῦ Πνεύματος, μᾶλλον δὲ καθ' 33
not indeed but also the against the Spirit rather and against
ὅλης τῆς ἁγίας Τριάδος, ὑπερβολὴν οὐ λείπουσα βλασφημία,
whole the holy Trinity excess not falling-short blasphemy
κἂν μηδὲν ἕτερον εἴη τῶν προειρημένων τετολμημένον,
even-if nothing other were of-the aforesaid dared
ἐξαρκεῖ, καὶ μόνον, μυρίοις αὐτοὺς ὑπαγαγεῖν ἀναθέμασιν.
suffices also alone to-countless them to-subject anathemas

Τούτων τὴν γνῶσιν καὶ εἴδησιν, κατὰ τὸ παλαιὸν 34
of-these the knowledge and information according-to the old
τῆς Ἐκκλησίας ἔθος, ἀνενεγκεῖν τῇ ἡμετέρᾳ ἐν Κυρίῳ
of-the Church custom to-refer to-the our in (the)-Lord
ἀδελφότητι, ἐδικαιώσαμεν· καὶ προθύμους καὶ συναγωνιστὰς
brotherhood we-thought-right and eager and fellow-contenders
γενέσθαι, ἐπὶ τῇ καθαιρέσει τῶν δυσσεβῶν τούτων καὶ ἀθέων
to-become for the overthrow of-the impious these and godless
κεφαλαίων, παραινοῦμέν τε καὶ δεόμεθα· καὶ μὴ λιπεῖν τὴν
heads we-exhort both and beg and not to-leave the
πατρῴαν τάξιν, ἣν ὑμᾶς οἱ πρόγονοι, δι' ὧν ἔπραξαν,
ancestral order which you the forebears through what they-did

κατέχειν παραδεδώκασιν· ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ,
to-hold have-handed-down but with-zeal much and eagerness
ἀνθ' ὑμῶν, τοποτηρητάς τινας ἑλέσθαι ἀποστεῖλαι, ἄνδρας
in-place-of you locum-tenentes some to-choose to-send men
τὸ ὑμέτερον ἐπέχοντας πρόσωπον, εὐσεβείᾳ δὲ καὶ ἱερωσύνῃ,
the your holding person with-piety and also priesthood
καὶ λόγῳ καὶ βίῳ, κεκοσμημένους· ὡς ἂν τὴν ἀρτιφανῆ
and with-word and with-life adorned so-that — the newly-appearing
τῆς ἀσεβείας ταύτης ἐφερπύσασαν γαγγραίναν, ἐκ μέσου
of-the impiety this having-crept-on gangrene from (the)-midst
τῆς ἐκκλησίας ποιησώμεθα· καὶ τοὺς ἐκμανέντας τοσαύτην
of-the church we-may-make and the(-ones) having-raged so-great
ἐπισπορὰν πονηρίας εἰς τὸ νεοπαγὲς καὶ νεοσύστατον
over-sowing of-wickedness into the newly-fixed and newly-formed
ἔθνος εἰσενεγκεῖν, αὐταῖς ἀνασπᾶσαι ῥίζαις, καὶ τῷ
nation to-bring-in with-the-very to-pull-up roots and to-the
πυρὶ παραδοῦναι, διὰ τῆς κοινῆς ἀποφάσεως· ὃ τοὺς
fire to-give-over through the common sentence which the
κατηραμένους ὑποδέχεσθαι, τὰ κυριακὰ θεσπίζουσιν λόγια.
accursed to-receive the Lord's decree words
35 Οὕτω γὰρ, τῆς μὲν ἀσεβείας ἐλαυνομένης, καὶ τῆς
thus for the indeed impiety being-driven-out and the
εὐσεβείας κραταιουμένης, ἐλπίδας ἔχομεν ἀγαθὰς, εἰς
piety being-strengthened hopes we-have good to
τὴν παραδοθεῖσαν αὐτοῖς ἐπαναστρέψαι πίστιν, καὶ τὸ
the handed-down to-them to-bring-back faith also the
νεοκατήχητον εἰς Χριστὸν καὶ νεοφώτιστον τῶν Βουλγάρων
newly-catechized into Christ and newly-illumined of-the Bulgarians
πλήρωμα· καὶ γὰρ οὐ μόνον τὸ ἔθνος τοῦτο, τὴν εἰς
fullness and for not only the nation this the into
Χριστὸν πίστιν, τῆς προτέρας ἀσεβείας ἠλλάξατο· ἀλλά
Christ faith for-the former impiety exchanged but

γε δὴ, καὶ τὸ παρὰ πολλοῖς πολλάκις θρυλλούμενον, καὶ
indeed indeed also the among many often talked-of and
εἰς ὠμότητα καὶ μιαιφονίαν πάντας δευτέρους ταττόμενον,
in cruelty and bloodthirstiness all second ranking
τοῦτο δὴ τὸ καλούμενον τὸ Ῥῶς, οἱ δὴ καὶ κατὰ
this indeed the called — Rus who indeed also against
τῆς Ῥωμαϊκῆς ἀρχῆς, τοὺς πέριξ αὐτῶν δουλωσάμενοι,
the Roman rule the(-peoples) around them having-enslaved
κἀκεῖθεν ὑπέρογκα φρονηματισθέντες, χεῖρας ἀντῆραν·
and-thence extraordinarily having-grown-proud hands raised-against(-it)
ἀλλ' ὅμως νῦν καὶ οὗτοι, τὴν τῶν Χριστιανῶν καθαρὰν
but nevertheless now also these the of-the Christians pure
καὶ ἀκίβδηλον θρησκείαν, τῆς Ἑλληνικῆς καὶ ἀθέου δόξης,
and unadulterated religion for-the Greek and godless opinion
ἐν ᾗ κατείχοντο πρότερον, ἀντηλλάξαντο ἐν ὑπηκόων
in which they-were-held before exchanged in of-subjects
ἑαυτοὺς καὶ προξένων τάξει, ἀντὶ τῆς πρὸ μικροῦ καθ'
themselves and of-friends rank instead-of the before little against
ἡμῶν λεηλασίας, καὶ τοῦ μεγάλου τολμήματος, ἀγαπητῶς
us plundering and the great daring contentedly
ἐγκαταστήσαντες. Καὶ ἐπὶ τοσοῦτον αὐτοὺς ὁ τῆς πίστεως
having-installed and to so-great them the of-the faith
πόθος καὶ ζῆλος ἀνέφλεξεν, (Παῦλος πάλιν βοᾷ, Εὐλογητὸς
longing and zeal kindled Paul again cries blessed
ὁ Θεὸς εἰς τοὺς αἰῶνας) ὥστε καὶ ἐπίσκοπον καὶ
— (be)-God to the ages so-that also (a)-bishop and
ποιμένα δέξασθαι, καὶ τὰ τῶν Χριστιανῶν θρησκεύματα,
(a)-shepherd to-receive and the of-the Christians worship
διὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἀσπάζεσθαι.
with much zeal and care to-embrace

36 Τούτων οὖν οὕτω, τῇ τοῦ φιλανθρώπου Θεοῦ χάριτι,
these then thus by-the of-the humane God grace
τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι, καὶ εἰς
of-the(-one) all men wishing to-be-saved and to
ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τῶν παλαιῶν αὐτοῖς δοξασμάτων
knowledge of-truth to-come the old for-them opinions
μετατιθεμένων, καὶ τὴν εἰλικρινῆ τῶν χριστιανῶν πίστιν
being-changed and the sincere of-the Christians faith
ἐκείνων, ἀλλασσομένων· εἰ διανασταίη καὶ ἡ ὑμετέρα
for-those being-exchanged if should-rise-up also the your
ἀδελφότης συμπροθυμηθῆναι, καὶ συγκατεργάσασθαι, εἰς
brotherhood to-be-eager-with and to-work-with toward
τὴν ἐκκοπὴν καὶ καῦσιν τῶν παραφυάδων, ἐν Κυρίῳ
the cutting-off and burning of-the offshoots in (the)-Lord
Ἰησοῦ Χριστῷ, τῷ ἀληθινῷ Θεῷ ἡμῶν πεποιθότες ἐσμὲν,
Jesus Christ the true God our having-trusted we-are
ὅτι τὸ ποίμνιον αὐτοῦ, ἐπὶ πλέον ἔτι μᾶλλον αὐξηθήσεται,
that the flock his for more still rather will-be-increased
καὶ πληρωθήσεται τὸ εἰρημένον, ὅτι Εἰδήσουσίν με
and will-be-fulfilled the(-thing) said that they-will-know me
πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, αὐτῶν καὶ, Εἰς πᾶσαν
all from small to great of-them and into all
τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστολικῶν διδαγμάτων,
the earth went-out the sound of-the apostolic teachings
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
and to the ends of-the world the words their
37 Δεῖ οὖν τοὺς παρ' ὑμῶν ἀνθ' ὑμῶν στελλομένους,
(it)-is-needful then the(-ones) by you in-place-of you sent
καὶ τὸ ὑμέτερον ὑποδυομένους ἱερὸν καὶ ὅσιον πρόσωπον,
and the your taking-on holy and sacred person
τὴν ὑμετέραν αὐθεντίαν, ἣν ὑμεῖς ἐν Πνεύματι ἁγίῳ
the your authority which you in (the)-Spirit holy

ἐκληρώσασθε, ἐγχειρισθῆναι· ὡς ἂν περί τε τούτων τῶν
were-allotted to-be-entrusted-with so-that — about both these the
κεφαλαίων, καὶ περὶ ἑτέρων τούτοις παραπλησίων, ἐξ
heads and about others to-these similar from
αὐθεντίας ὦσιν ἀποστολικοῦ θρόνου, καὶ λέγειν ἱκανοὶ,
authority they-may-be of-(the)-apostolic throne both to-speak able
καὶ πράττειν ἀκώλυτοι. Καὶ γὰρ δὴ, καὶ ἀπὸ τῶν
and to-act unhindered and for indeed also from the
τῆς Ἰταλίας μερῶν, συνοδική τις ἐπιστολὴ πρὸς ἡμᾶς
— of-Italy parts (a)-synodal some letter to us
ἀναπεφοίτηκεν ἀῤῥήτων ἐγκλημάτων γέμουσα· ἅτινα κατὰ
has-come of-unspeakable charges full which against
τοῦ οἰκείου αὐτῶν ἐπισκόπου, οἱ τὴν Ἰταλίαν οἰκοῦντες,
the own their bishop the(-ones) — Italy inhabiting
μετὰ πολλῆς κατακρίσεως, καὶ ὅρκων μυρίων, διεπέμψαντο·
with much condemnation and oaths countless sent-across
μὴ παριδεῖν αὐτοὺς οὕτως οἰκτρῶς ὀλλυμένους, καὶ ὑπὸ
not to-overlook them so pitiably perishing and by
τηλικαύτης βαρείας πιεζομένους τυραννίδος, καὶ τοὺς
so-great heavy pressed tyranny and the
ἱερατικοὺς νόμους ὑβριζομένους, καὶ πάντας θεσμοὺς
priestly laws outraged and all (the)-ordinances
Ἐκκλησίας ἀνατρεπομένους. Ἃ καὶ πάλαι μὲν διὰ
of-(the)-Church overturned which also long-ago indeed through
μοναχῶν καὶ πρεσβυτέρων ἐκεῖθεν ἀναδραμόντων, εἰς
monks and presbyters from-there having-come-up into
πάντων ἀκοὰς διεφέροντο. Βασίλειος δ' ἄρα ἦν, καὶ
of-all ears were-carried Basil and then it-was and
Ζωσιμᾶς, Μητροφάνης τε, καὶ σὺν αὐτοῖς ἕτεροι, οἱ τὴν
Zosimas Metrophanes both and with them others who the
τοιαύτην τυραννίδα ἀπωδύροντο, καὶ πρὸς ἐκδίκησιν τῶν
such tyranny bewailed and to vengeance of-the

Ἐκκλησιῶν ἐξεκαλοῦντο δακρύοντες. Νῦν δὲ (ὡς ἔφθην
Churches called-forth weeping now and as I-anticipated
εἰπὼν) καὶ γράμματα διάφορα, καὶ ἐκ διαφόρων ἐκεῖθεν
saying also letters various and from various(-people) from-there
ἀναπεφοίτηκεν, τραγῳδίας ἁπάσης καὶ μυρίων θρήνων
have-come of-tragedy all and of-countless laments
γέμοντα· ὧν τὰ ἴσα, κατὰ τὴν ἐκείνων ἀξίωσίν τε
full of-which the copies according-to the their request both
καὶ ἐξαίτησιν (καὶ γὰρ εἰς πάντας τοὺς ἀρχιερατικοὺς καὶ
and demand and for to all the high-priestly and
ἀποστολικοὺς θρόνους διαδοθῆναι ταῦτα μετὰ φρικτῶν
apostolic thrones to-be-distributed these(-things) with awful
ὅρκων καὶ παρακλήσεων ἐδυσώπησαν), ὡς αὐτὰ ἐκεῖνα
oaths and entreaties they-besought as they themselves
παραστήσει ἀναγινωσκόμενα. Τῷ δὲ ἡμῶν τῷ γραμματίῳ
will-show being-read to-the and our the letter
ἐνετάξαμεν, ἵνα καὶ περὶ τούτων, τῆς ἁγίας καὶ οἰκουμενικῆς
we-attached that also about these(-things) the holy and ecumenical
ἐν Κυρίῳ συνόδου ἀθροιζομένης, τὰ τῷ Θεῷ, καὶ τοῖς
in (the)-Lord synod gathering the(-things) — to-God and to-the
συνοδικοῖς κανόσι δοκοῦντα. ψήφῳ βεβαιωθείη κοινῇ, καὶ
synodal canons seeming-good by-vote may-be-confirmed common and
εἰρήνη βαθεῖα τὰς τοῦ Χριστοῦ Ἐκκλησίας καταλήψοιτο.
peace deep the — of-Christ Churches may-seize

38 Καὶ γὰρ καὶ οὐ μόνον τὴν ὑμετέραν μακαριότητα ἐπὶ τοῦτο
and for also not only the your blessedness for this
προκαλούμεθα· ἀλλά γε δὴ, καὶ τῶν ἄλλων ἀρχιερατικῶν
we-call but indeed indeed also of-the other high-priestly
καὶ ἀποστολικῶν θρόνων, οἱ μὲν ἤδη καὶ πάρεισιν,
and apostolic thrones some indeed already also are-present
οἱ δὲ οὐ μετὰ πολὺν χρόνον παρεῖναί εἰσι προσδόκιμοι.
others and not after much time to-be-present are expected

Μὴ οὖν ἡ ὑμετέρα ἐν Κυρίῳ ἀδελφότης, ἀναβολῇ τινι 39
not then the your in (the)-Lord brotherhood by-delay some
καὶ παρατάσει χρόνου, τοὺς ἀδελφοὺς αὐτῆς διατρίβειν
and protraction of-time the brothers its to-wait
ὑπὲρ τὸ δέον, ποιήσει· γινώσκουσα ὡς εἴ τι παρὰ
beyond the needful let-make knowing that if something through
τὴν αὐτῆς ὑστέρησιν, οὐ κατὰ τὸ δέον, ἐλλιπές τι
the its tardiness not according-to the needful deficient something
διαπραχθείη, οὐχ ἕτερός τις, ἀλλ᾽ εἰς ἑαυτὴν αὐτὴ τὸ
should-be-done not another anyone but on itself it the
κατάκριμα ἐπισπάσαιτο.
condemnation would-draw
Καὶ τοῦτο δὲ προστεθῆναι χρεὼν τοῖς γράμμασιν 40
and this too to-be-added (as)-needful to-the letters
ἡγησάμεθα, ἵνα τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἑβδόμην
we-thought that the holy and ecumenical seventh
σύνοδον, ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ συνόδοις
synod with-the holy and ecumenical six synods
συντάττειν καὶ συναριθμεῖν, παντὶ τῷ ὑφ᾽ ὑμῶν τῆς
to-rank and to-count-with to-all the under you of-the
Ἐκκλησίας παραδοθείη πληρώματι· φήμη γὰρ ἦκεν εἰς ἡμᾶς,
Church be-handed-down fullness (a)-report for came to us
ὥς τινες τῶν ὑπὸ τὸν ἀποστολικὸν ὑμῶν θρόνον Ἐκκλησίαι,
that some of-the under the apostolic your throne Churches
μέχρι τῆς ἕκτης, τὰς οἰκουμενικὰς ἀριθμῆσαι συνόδους, τὴν
up-to the sixth the ecumenical to-count synods the
ἑβδόμην οὐκ ἴσασιν· ἀλλὰ τὰ μὲν ἐν αὐτῇ κυριωθέντα,
seventh not know but the(-things) indeed in it ratified
εἴπερ τι ἄλλο, διὰ σπουδῆς καὶ σεβασμιότητος ἄγουσιν,
if-indeed anything else with zeal and reverence they-hold
αὐτὴν δ᾽ ἀνακηρύττειν ἐπὶ τῆς Ἐκκλησίας, ὥσπερ καὶ
it but to-proclaim in the Church as also

τὰς ἄλλας, οὔπω τυχεῖν ἐπιγνώσεως, καίτοι τὸ ἴσον
the others not-yet to-have-obtained recognition although the equal
ἐκείναις ἁπανταχοῦ διασωζούσης ἀξίωμα.
with-those everywhere preserving dignity

41 Καὶ γὰρ καὶ αὕτη μεγίστην καθεῖλε δυσσέβειαν,
and for also it (a)-greatest destroyed impiety
συμπαρέδρους αὐτῇ καὶ συμψήφους τοὺς ἐκ τῶν
(as)-assessors for-it and fellow-voters the(-ones) from the
τεσσάρων ἥκοντας ἀρχιερατικῶν θρόνων ἔχουσα· παρῆν
four having-come high-priestly thrones having was-present
γὰρ, ὡς δῆλον, ἀπὸ μὲν τοῦ ὑμετέρου ἀποστολικοῦ θρόνου
for as (is)-clear from indeed the your apostolic throne
τῆς Ἀλεξανδρείας, Θωμᾶς μοναχὸς πρεσβύτερος, καὶ οἱ
— of-Alexandria Thomas (a)-monk (and)-presbyter and the(-ones)
σὺν αὐτῷ, ἀπὸ δὲ Ἱεροσολύμων καὶ Ἀντιοχείας Ἰωάννης,
with him from and Jerusalem and Antioch John
καὶ οἱ σὺν αὐτῷ, καὶ ἀπό γε τῆς πρεσβυτέρας
and the(-ones) with him and from indeed the elder
Ῥώμης, Πέτρος ὁ εὐλαβέστατος, πρωτοπρεσβύτερος, καὶ
Rome Peter the most-devout archpresbyter and
ἕτερος Πέτρος πρεσβύτερος, μοναχὸς καὶ ἡγούμενος τῆς
another Peter presbyter (and)-monk and abbot of-the
κατὰ Ῥώμην εὐαγοῦς μονῆς τοῦ ἁγίου Σάββα.
in Rome holy monastery of-the holy Sabas

42 Καὶ τούτων ἁπάντων συνεληλυθότων, ἅμα τῷ
and these all having-come-together together-with the
ἡμετέρῳ πατροθείῳ, καὶ ἁγιωτάτῳ καὶ τρισμακαρίστῳ
our paternal-uncle and most-holy and thrice-blessed
ἀνδρὶ Ταρασίῳ, ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, ἡ
man Tarasius archbishop of-Constantinople the
μεγάλη καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος συνεκροτήθη, τὴν
great and ecumenical seventh synod was-convened the

τῶν εἰκονομάχων, ἢ χριστομάχων, θριαμβεύσασα καὶ
of-the iconoclasts or Christ-fighters having-triumphed-over and
καθελοῦσα δυσσέβειαν· ἧς ἴσως, τοῦ βαρβαρικοῦ καὶ
having-destroyed impiety of-which perhaps the barbarian and
ἀλλοφύλου τῶν Ἀῤῥάβων κατασχόντος τὰς χώρας ἔθνους,
foreign of-the Arabs having-occupied the countries nation
οὐκ ἐγένετο ῥᾷστον τὰ πρακτικὰ πρὸς ὑμᾶς διακομισθῆναι.
not it-was easiest the acts to you to-be-conveyed
Δι' ἣν αἰτίαν, παρὰ πολλοῖς τῶν αὐτόθι, ταύτης
because-of which cause among many of-the(-ones) there its
αἱ τάξεις, εἰ καὶ τιμῶνται καὶ περιέπονται· ἀλλ' οὖν, ὅτι
the ordinances if even are-honored and cherished but then that
ταύτης εἰσὶν, ὡς φασιν, οὐκ εἰσὶν ἐν γνώσει.
its they-are as they-say not they-are in knowledge
Χρὴ δ' οὖν καὶ ταύτην (καθάπερ ἔφθημεν) μεγάλην 43
(it)-is-needful and then also this(-synod) as we-said-before great
τε καὶ ἁγίαν καὶ οἰκουμενικὴν, καὶ ταῖς πρὸ αὐτῆς ἓξ
both and holy and ecumenical also with-the before it six
συνόδοις συνανακηρύττειν. Τὸ γὰρ μὴ οὕτω διαπράττεσθαι
synods to-proclaim-together the for not so to-act
καὶ ποιεῖν, πρῶτον μὲν ἀδικεῖν ἐστι τὴν τοῦ Χριστοῦ
and to-do first indeed to-wrong is the — of-Christ
Ἐκκλησίαν, τηλικαύτην ὑπερορῶντας σύνοδον, καὶ τοσούτῳ
Church so-great overlooking (a)-synod and so-great
μέρει τὸν σύνδεσμον αὐτῆς καὶ τὴν συνάφειαν διασπῶντας
(a)-part the bond its and the union tearing-apart
καὶ διαλύοντας. Δεύτερον δὲ, καὶ τῶν εἰκονομαχούντων,
and dissolving second and also of-the icon-fighters
ὧν οὐδὲν ἔλαττον τῶν ἄλλων αἱρετικῶν, εὖ οἶδ' ὅτι
whom in-nothing less than-the other heretics well I-know that
μυσάττεσθαι τὸ δυσσέβημα, πλατύνειν ἐστὶ τὰ στόματα·
to-abhor the impiety to-widen is the mouths

οὐχὶ οἰκουμενικῇ συνόδῳ τὴν αὐτῶν καθαιρεθῆναι
not by-(an)-ecumenical synod the their to-have-been-destroyed
δυσσέβειαν, ἀλλ᾽ ἑνὸς θρόνου κρίσει, τὴν δίκην ὑπέχειν,
impiety but of-one throne by-judgment the penalty undergoing
πρόφασιν ἐχόντων εἰς τὸ τερατεύεσθαι.
(a)-pretext having for the to-tell-marvels
44 Δι᾽ ἅπερ ἅπαντα, ἔν τε τοῖς συνοδικοῖς γράμμασι,
because-of which all in both the synodal letters
καὶ ἐν ἄλλαις ἁπάσαις ἐκκλησιαστικαῖς ἱστορίαις καὶ
and in other all ecclesiastical histories and
συζητήσεσιν, ἀριθμεῖν ταύτην καὶ συγκαταλέγειν ταῖς
disputations to-count this and to-list-with the
ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ συνόδοις, ἑβδόμην μετ᾽
holy and ecumenical six synods (as)-seventh after
ἐκείνας τάττοντας, ἀξιοῦμέν τε, καὶ ὡς ἀδελφοῖς ἀδελφοὶ,
those ranking we-ask both and as to-brothers brothers
παραινοῦμεν τὰ πρέποντα εἰσηγούμενοι.
we-exhort the fitting(-things) proposing
45 Χριστὸς δὲ, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ πρῶτος καὶ
Christ and the true God our the first and
μέγας ἀρχιερεὺς, ὁ ἑκούσιον ὑπὲρ ἡμῶν ἑαυτὸν
great high-priest the(-one) (as)-voluntary for us himself
καλλιερησάμενος σφάγιον, καὶ τὸ οἰκεῖον αἷμα λύτρον
having-sacrificed victim and the own blood (a)-ransom
ὑπὲρ ἡμῶν καταθέμενος, δοίη μὲν τὴν ὑμετέραν
for us having-laid-down may-he-grant indeed the your
ἀρχιερατικὴν καὶ τιμίαν κεφαλὴν κρείττω τῶν κύκλῳ
high-priestly and precious head stronger than-the around
καθισταμένων βαρβαρικῶν ἐθνῶν ὀφθῆναι· δοίη δὲ
set barbarian nations to-be-seen may-he-grant and
γαληνὸν καὶ ἤρεμον ἐξανύειν τὸν τοῦ βίου δρόμον· δοίη
calm and quiet to-accomplish the of-the life course may-he-grant

δὲ τυχεῖν καὶ τῆς ἄνω κληρουχίας, ἀνεκλαλήτῳ χαρᾷ καὶ
and to-obtain also the above inheritance with-unspeakable joy and
εὐφροσύνῃ, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία,
gladness where of-all is of-(those)-rejoicing the dwelling
καὶ ἧς ἀπέδρα ὀδύνη πᾶσα καὶ στεναγμὸς καὶ
and from-which fled pain all and groaning and
κατήφεια· ἐν αὐτῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, ᾧ
dejection in himself Christ the true God our to-whom
ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
the glory and the might to the ages of-the ages amen
Ὑπερευχόμεθα ὑμῶν κατὰ χρέος τῆς πατρικῆς
we-pray-for you according-to (the)-debt of-the paternal
ὁσιότητος, μέμνησθαι καὶ αὐτοὶ τῆς ἡμῶν μὴ
holiness to-remember also you-yourselves of-the our not
διαλείποιτε μετριότητος.
may-you-cease humility

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΜΥΣΤΑΓΩΓΙΑΣ

On the Mystagogy of the Holy Spirit

Περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας

ON THE MYSTAGOGY OF THE HOLY SPIRIT · I

At his correspondent's request Photius gathers the arguments against those who say the Spirit proceeds from the Son. First, the Lord himself says the Spirit proceeds from the Father. If the Spirit also came from the Son, it would by the same logic produce the Son, would have a double origin and be composite, and would be less than the Son. No father or council said it: the second council decreed that the Spirit proceeds from the Father, and the third to the seventh confirmed it. Whatever is common to Father and Son is common to the Spirit too, so the Spirit would share in its own procession, at once cause and caused. A property that belongs to the Father alone cannot pass to the Son without merging their persons, which is Sabellius again or worse, and two causes in the Trinity bring back the many gods of the Greeks. When the Savior said the Spirit "will take of mine," he did not say "from me": "of mine" points to another person, the Father, as even schoolboys know.

Ἐν πολλοῖς μέν εἰσιν οἱ ἔλεγχοι πολυστίχοις ἐσπαρμένοι 1
in many indeed are the refutations of-many-lines sown
λόγοις, δι' ὧν ἡ ὀφρὺς κατασπᾶται τῶν τὴν
words through which the brow is-pulled-down of-the(-ones) the
ἀλήθειαν ἐν ἀδικίᾳ κατέχειν φιλονεικούντων. Ἐπεὶ δὲ τὸ
truth in unrighteousness to-hold striving since and the
σὸν μεγαλοπρεπὲς καὶ θεοφιλέστατον σπούδασμα σύνοψίν
your magnificent and most-God-beloved zeal (a)-synopsis
τινα τῶν ἐλέγχων καὶ ὑποτύπωσιν ἐξητήσατο γενέσθαι, τῆς
some of-the refutations and (an)-outline asked to-be-made of-the
θείας προνοίας εὐμενὲς ἡμῖν ὁρώσης οὐκ ἀνάξιον τοῦ σοῦ
divine providence favorably on-us looking not unworthy of-the your
θείου ἔρωτος οὐδὲ τῆς αἰτήσεως τὸ πέρας ἐπιτεθήσεται.
divine love nor of-the request the end will-be-put

2 Ἐστὶν οὖν κατ᾽ αὐτῶν ὀξὺ καὶ ἄφυκτον βέλος καὶ
there-is then against them (a)-sharp and inescapable arrow and
πρὸ τῶν ἄλλων ἁπάντων ἡ Κυριακὴ καὶ θηρίον ἅπαν
before the others all the Lord's and beast every
καὶ πᾶσαν ἀλώπεκα καταβροντῶσά τε καὶ ἐξαφανίζουσα
and every fox thundering-down both and annihilating
φωνή. Τίς αὕτη; τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἡ
voice which (is)-this the Spirit from the Father the(-voice)
λέγουσα ἐκπορεύεσθαι. Ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς τὸ Πνεῦμα
saying to-proceed from the Father the Son the Spirit
ἐκπορεύεσθαι μυσταγωγεῖ· καὶ σὺ τελεστὴν ἄλλον ἐπιζητεῖς,
to-proceed initiates and you (an)-initiator another seek
δι᾽ οὗ τελεσθήσῃ, μᾶλλον δὲ συντελεσθήσῃ τὴν
through whom you-will-be-initiated rather and you-will-be-consummated-in the
ἀσέβειαν καὶ μυθολογεῖς τὸ Πνεῦμα προέρχεσθαι τοῦ Υἱοῦ;
impiety and you-tell-the-myth the Spirit to-come-forth from-the Son
Εἰ τοῦ κοινοῦ Σωτῆρος καὶ Δημιουργοῦ καὶ Νομοθέτου τὰ
if of-the common Savior and Creator and Lawgiver the
δόγματα τῆς σῆς ἡττᾶσθαι παρανοίας ὁρμὴν οὐκ ἔπτηξας
doctrines by-the your to-be-defeated madness (an)-impulse not you-cowered
ἀναλαβεῖν, τί ἄν τις ἕτερον ζητήσῃ λαβεῖν, δι᾽ οὗ
to-take-up what — anyone other might-seek to-take through which
τὴν σὴν κατακράτος ἀπελέγξει δυσσεβῆ σπουδήν; εἰ σὺ
the your mightily will-refute impious zeal if you
τοὺς Δεσποτικοὺς ὑπερορᾷς νόμους, τίς τὴν σὴν εὐσεβῶν
the Master's overlook laws who the your of-(the)-pious
οὐ βδελύξεται δόξαν; τί δ᾽ ἄν σε τοῦ πτώματος ἕτερον
not will-abhor opinion what and — you from-the fall other
ἀναστήσῃ; τίς δὲ θεραπείας περίνοια τὴν ὁλοσώματον
might-raise what and of-healing device the whole-body
θεραπεύσῃ πληγήν; οὐχ ἣν ὁ Σωτήριος ἐπαφῆκε λόγος,
might-heal wound not which the Saving inflicted word

ἀλλ᾽ ἣν ἡ ἑκούσιος ἐμβάθυνε νόσος· καὶ τῆς Δεσποτικῆς
but which the voluntary deepened disease and of-the Master's
διδασκαλίας τὸ ἴαμα εἰς ἀμύθητον ἐξ ἀπειθείας μεταβαλεῖν
teaching the remedy into unspeakable from disobedience to-change
ἐφιλονείκησε δηλητήριον· μᾶλλον δὲ τὴν ὑπέρμαχον καὶ
strove poison rather and the championing also
κατὰ τῶν ἐχθρῶν ῥομφαίαν ὑποδραμόντος τοῦ ζητήσαντος
against the enemies sword having-run-under the(-one) having-sought
εἰς τὴν ἐκείνων μετατάξασθαι μοῖραν· διό σε καὶ κάτω
into the their to-transfer portion therefore you also below
κείμενον τῇ διστόμῳ μαχαίρᾳ τοῦ Πνεύματος οὐδὲν
lying by-the two-edged sword of-the Spirit in-nothing
ἔλαττον ὅμως καὶ ἡμεῖς τὸ ὑπὲρ τοῦ κοινοῦ Δεσπότου
less nevertheless also we the for the common Master
φίλτρον καὶ πρόθυμον ἐνδεικνύμενοι. ὅσα καὶ λογισμοὶ
love and eagerness displaying as-much-as also reasonings
τῆς ἱερᾶς ἡμῶν καθοπλιζούσης ἡμᾶς στρατηγίας εἰς
of-the holy our arming us generalship into
παράταξιν ἀνακινοῦσιν, οὐδὲ τὰ ἐκ ταύτης τραύματα
battle-line stir-up not-even the from it wounds
διαφυγεῖν σε φροντίδος ἔξω ποιήσομεν.
to-escape you of-care outside shall-we-make

Εἰ γὰρ ἐξ ἑνὸς αἰτίου, τοῦ Πατρὸς, ὅ τε Υἱὸς καὶ 3
if for from one cause the Father the both Son and
τὸ Πνεῦμα προάγεται, εἰ καὶ τὸ μὲν ἐκπορευτῶς,
the Spirit is-brought-forth if even the(-one) indeed processionally
ὁ δὲ γεννητῶς· γίνεται δὲ πάλιν ὁ Υἱὸς τοῦ
the(-other) and by-begetting becomes and again the Son of-the
Πνεύματος προαγωγὸς ὡς ἡ βλασφημία βοᾷ, πῶς ἂν ὁ
Spirit (a)-producer as the blasphemy cries how — the
τῆς ἀκολουθίας ἀνάσχοιτο λόγος μὴ οὐχὶ καὶ τὸ Πνεῦμα
of-the consequence could-endure reason not not also the Spirit

τοῦ Υἱοῦ παρακτικὸν εἶναι συμμυθολογεῖν; ὁμοτίμως
of-the Son productive to-be to-tell-together-as-myth with-equal-honor
γὰρ ἀμφοῖν τοῦ αἰτίου προεληλυθότων, εἰ θάτερον τῷ
for both from-the cause having-come-forth if the-one for-the
ἑτέρῳ τὴν τοῦ αἰτίου χρείαν ἀναπληροῖ, οὐδὲ θατέρῳ
other the of-the cause need fills not-even for-the-one
